μάχης, ὁ συμβουλευόμενος. Anonymus: Κόμης βουκίνων. Item, Βουκινάτορες: Leo Constit. III. §. 51. βουκινάτορες, οἵ τινες ἐν καιρῷ τὰ συνήθη σαλπίζουσι. Idem Constitut. XI. §. 21. Ἔχειν δέ σε ὦ στρατηγὲ περὶ σεαυτὸν βουκινάτορας, ἀπὸ μικρῶν βουκίνων, ἀπὸ μεγάλων, καὶ τοὺς ἠθισμένους βουκίνους, σαλπίζοντας περὶ ἑσπέραν παύεσθαι τῶν πόνων· καὶ διπλοῦντας ψάλλειν τὸν τρισάγιον ὕμνον. Curopalates: ἵστανται πάντες οἱ λεγόμενοι παιγνιῶται, ἤτοι σαλπικταὶ, βουκινάτορες, ἀνακαρισταὶ καὶ συρουλισταί. Idem. Σαλπίζουσι δὲ καὶ οἱ σαλπισταὶ ὁμοίως, καὶ οἱ βουκινάτορες δι' ὀργάνων ἀργυρῶν.

BOYTTION.

Βούτλιον. Glossarium vetus: Βύτλιον, cupella Βύτλις, cupa. aliud Gloss. Cupa seu Vagna, Βύτλις μεγάλη, ἣν τινες γαυλὸν καλοῦσιν. Item: Γαυλὸς, ποιμενικὸν ἀγγεῖον, hoc sinum. Italis, Botta. Liber inscriptus,

Corona pretiosa: Botta: βούτζη, ἀμφορεύς. Nicet. Chon. Βουτζία, οἴνων δοχεῖα ἐν λύγων. Videndus Cuiacius cap. 26. lib. IX. Obseruat. Milites in aridis & siccis regionibus aquam adseruabant in buttiis siue cupellis. Mauricius lib. X. Strateg. Εἰ δὲ ἄπορος πρὸς τὸ ὕδωρ ὁ τόπος ἔχει, μηδὲ * ῥυτοῦ ἐν αὐτῷ ὄντος, μηδὲ ἐν ὀρύγματι εὑρισκομένου, δεῖ ἢ πίθοις ὀστρακίνους, ἢ βούτας τελείας προευτρεπίζειν, καὶ γεμίζειν ὕδατος, καὶ κόχλακας ἐν αὐτῷ ποταμίους ῥίπτειν, εἰς τὸ * ἀπαρκέσαι μέχρι τῆς τοῦ χειμῶνος ὥρας· καὶ φθάσαι κινστέρνα οἰκοδομηθῆναι, καὶ ὄμβριον ὑποδέξηται ὕδωρ· ἵνα δὲ μὴ ὡς εἰκὸς ὄζῃ ἀκίνητον μένον τὸ ὕδωρ ἐν τοῖς ἀγγείοις, (δεῖ ἐπιτόνια γίνεσθαι ἐν τοῖς ἀγγείοις) καὶ δοχεῖα μικρὰ παρατίθεσθαι αὐτοῖς, ἵνα κατ' ὀλίγον ἀποστάζον τὸ ὕδωρ ἐν αὐτοῖς, κίνησιν προσδέχηται· ἅμα δὲ * τῷ πληροῦσθαι τὰ δοχεῖα, πάλιν * ἀποκινοῦσιν ἐν τοῖς πίθοις ἢ βουτίοις τοῦτο, ἵνα διὰ τῆς κινήσεως ταύτης διαπνέηται τὸ ὕδωρ, καὶ μὴ ἀφανίζηται. Laborant

hæc Mauricij verba, vt etiam Leonis; cuius discrepantes ab illo lectiones contuli, vt iam facilè vtrisque medicina fieri possit.

* Leo, βρύτῃ. * Leo, αἰσθέσθαι. (Inclusa parenthesi desunt in Leone.)
* Leo: τῶ. * Leo: ἀποκειμένῳ.

ΒΟΡΔΟΝΙΑ.

BOρδόνια, Iumenta, muli, burdones. Constantinus Tactic. ἔχει δὲ καὶ βορδόνια, καὶ ἱππάρια, καὶ αὐτὰ σαγμάρια, πρὸς τὸ βαστάζειν τὰς εἰρημένας χρείας. Vid. Cuiac. cap. 16. lib. XI. Obseruat.



γ.

ΓΑΛΑΙΑΙ.

ΓΑλαίαι & Γαλέαι. Nauigij velocissimi genus: Leo, Naumachicis §.10. Καὶ ἔτι δὲ κατασκευάσεις δρόμωνας ἐλάττους δρομικωτάτους, οἱονεὶ γαλαίας, ἢ μονήρεις λεγομένους, ταχινοὺς καὶ ἐλαφροὺς, οἷσπερ χρήσῃ ἔν τε ταῖς βίγλαις, καὶ ταῖς ἄλλαις ταχιναῖς χρείαις. Idem §.penult. Ἔχειν δὲ καὶ μικροὺς καὶ ταχεῖς δρόμωνας, οὐ πρὸς πόλεμον ἐξωπλισμένους, ἀλλὰ πρὸς τὰς βίγλας, καὶ τὰς δαπάνας, καὶ τὰς ἄλλας ἁπαντώσας ὁμοίας χρείας· καὶ ἔτι τά τε μονήρεια λεγόμενα, καὶ τὰς γαλαίας. Basilius Naumachicis: Ἦν γὰρ καὶ μειζόνων πλῆθος δρομώνων, καὶ νῦν ἔτι χρὴ οἷς ἐπιστῶσι τὰ λεγόμενα πάντως ξυλόκαστρα· ἀλλὰ καὶ μέσαι τριήρεις καὶ μονήρεις τινὲς ταχιναὶ, λεπταὶ γαλέαι, αἷς ἐν ταῖς βίγλαις χρηστέον πρὸς ἐρεθισμὸν τῶν ἐναντίων, καὶ δια-

λύσιν τάξεων. Est-ne verò Galæa, Nasoniana illa nauis quæ

---- à picta casside nomen habet?

Trist. I. Eleg. IX. Certè placet coniectura cap. 7. lib. VII. Animaduers. in Io. Con. Ro. Titij.



Δ.

ΔΕΠΟΤΑΤΟΙ.



Εποτάτοι, & δηποτάτοι, Mauric. lib. I. cap. 3. οἱ παρακολουθοῦντες τῇ τάξει, καὶ τοὺς ἐν τῇ μάχῃ τραυματίας γινομένους ἀνακομίζοντές τε καὶ περιποιούμενοι. Leo Constitut. III. §. 15. Δεποτάτοι δὲ προσηγορεύοντο πάλαι, οἱ νῦν λεγόμενοι σκρίβωνες, οἵτινες παρακολουθοῦντες τῇ παρατάξει, τοὺς ἐν τῇ μάχῃ τραυματίας γινομένους ἀναλαμβάνονται ὡς ἰατροὶ, καὶ περι-

ποιοῦνται. Deputati, ἀφωρισμένοι, selecti alacres ex singulis ordinibus aliquot viri minus locupletes, qui vulneratos in prœlio reficiebant, aut collapsos ab equis erigebant, aut laborantes è certamine asportabant. Scalas duas ad læuam sellæ partem habebant, quò facilius, & ipsi, & milites iuxtà periculo erepti in equum ascenderent. pro singulis militibus seruatis singulos nummos accipiebant. Leo Constitut. XII. §. 52. Πρὸς τούτοις κελεύομέν σοι, ὦ στρατηγέ, ἵνα ἀφορίσῃς, καὶ μάλιστα εἰς τὴν πρόμαχον παράταξιν τοὺς λεγομένους δεποτάτους, τουτέστιν, τοὺς ἐπιμελητὰς τῶν τραυματιζομένων στρατιωτῶν. καὶ καταστήσῃς ὀκτὼ ἢ δέκα ἄνδρας καθ' ἕκαστον βάνδον ἐκ τοῦ αὐτοῦ τάγματος ἐλαφροὺς καὶ γοργούς, δίχα ὅπλων, τοὺς ὀφείλοντας ὄπισθεν, ὡς ἀπὸ ἑκατὸν ποδῶν, τοῖς ἰδίοις τάγμασιν ἀκολουθεῖν, ἵνα τοὺς ἐν ταῖς συμπλοκαῖς τοῦ πολέμου, ὡς πολλάκις γίνεται, τραυματιζομένους ἐπικινδύνως, ἢ ἐκπίπτον-

ἐκπίπτοντας ἀπὸ τῶν ἵππων, καὶ μὴ δυναμένους ἀπομάχεσθαι, ἀναλέγονται καὶ περιποιοῦνται· ἵνα μὴ καταπατῶνται ὑπὸ τῆς δευτέρας παρατάξεως οἱ ἀληθῶς γενναῖοι στρατιῶται, καὶ ἐκ τῆς ὀλιγωρίας τῶν τραυμάτων διαφθείρονται. καὶ ἵνα οἱ διασώζοντες αὐτοὺς λαμβάνωσιν ὑπὲρ μισθοῦ, ἀπὸ τοῦ ταμείου τῆς βασιλείας ἡμῶν, κατὰ ἕνα ἕκαστον στρατιώτην διασωζόμενον παρ' αὐτῶν, νό. α'. Et §.54. Ἵνα δὲ εὐκόλως ἐπὶ τῶν ἵππων ἀναβαίνωσιν οἵ τε λεγόμενοι* δεποτάτοι, καὶ οἱ τραυματιζόμενοι στρατιῶται οἱ ἀπὸ τῶν ἵππων πίπτοντες, πρέπον ἐστὶν ἵνα ὁ * δεσποτάτος τὰς δύο σκάλας εἰς τὸ ἀριστερὸν μέρος τῆς σέλας ἔχῃ, τουτέστι τὴν μίαν πρὸς τῷ ἐμπροσθοκουρβίῳ, καὶ τὴν ἑτέραν πρὸς τῷ ὀπισθοκουρβίῳ, ἵνα ὅταν μέλλωσιν οἱ δύο ἐπὶ τοῦ ἵππου ἀνέρχεσθαι, ὁ μὲν διὰ τῆς σκάλας τῆς ἔμπροσθεν, ὁ δὲ διὰ τῆς ἑτέρας σκάλας ἀνέρχηται. ἀναγκαῖον δέ ἐστι τοὺς λεγομένους δεποτάτοις καὶ εἰς φλασκία ὕδωρ βαστάζειν, διὰ τοὺς πολλάκις λειποθυμοῦντας τραυματίας. Idem imperat iisdem fere

verbis Mauricius lib. III. Strateg. cap. 8. nec erit inutile his ea cõferre & componere. Alia verò significatione ὁπλοποιοὶ καὶ δηπουτάτοι Iustinian. Nouell. πε'. siue, Deputati Numerorũ, Nouel. Iulian. Antecess. CP. LXXIX. 2.

ΔΗΦΕΝΣΩΡΕΣ.

ΔΗφένσωρες, ἔκδικοι, βοηθοί. Defensores. cursores subsequebantur, vt eos defenderent, & clades, quas ij forte acceperant, sarcirent. Leo Constitut. III. §. 21. Δηφένσωρες δὲ οἱ τούτοις (cursorib.) ἐπακολουθοῦντες, μὴ ἐκτρέχοντες δὲ καὶ λύοντες τὴν τάξιν, ἀλλὰ συντεταγμένως περιπατοῦντες, πρὸς ἐκδίκησιν τῶν κουρσώρων, εἴπερ αὐτοὺς, ὡς εἰκὸς, τραπῆναι συμβαίνῃ· οὕσπερ δικαίως ἄν τις καλέσοι ἐκδίκους. Mauricius lib. I. Strateg. cap. 3. Δηφένσωρες, οἱ συντεταγμένοι περιπατοῦντες, πρὸς ἐκδίκησιν τῶν κερσώρων, εἴπερ

αὐτῶν τραπῆναι συμβαίνῃ. Leo Constitut. VII. §. 38. ὅτε δὲ συντεταγμένως, ὡς διφένσωρας, οὓς ἡμεῖς καλοῦμεν ἐκδίκοις, &c. & §. 42. ἑτοίμως ἔχωσι καὶ εἰς κούρσωρας, ἤγουν προεκλάσας, ἢ προμάχους, καὶ εἰς διφένσωρας, ἤγουν ἐκδίκους, ἢ βοηθούς. Mauricius lib. IIII. Strateg. Μοίρας γυμναζομένης, τὰ μὲν τῶν βάνδων αὐτῆς τάσσειν κούρσωρας, τὰ δὲ διφένσωρας. καὶ πάλιν ἐναλλάσσειν αὐτὰ, ὅτε τοὺς κούρσωρας διφένσωρας ποιεῖν, ὅτε τοὺς διφένσωρας κούρσωρας. Idem lib. III. cap. 15. Πάντων τῶν ταγμάτων ἰσομετώπων ἐν τῇ τάξει ἱσταμένων, δέον ἐν τῇ περὶ αὐτὰ τασσομένων τοῖς γυναικοτέροις, κἂν δεκαπέντε, ἢ καὶ εἴκοσι ἄνδρας ἀφορίσαι ἐπὶ τῇ ἑκάστου αὐτῶν φυλακῇ καὶ ΔΙΦΕΝΣΙΩΝΙ. Idem: Εἶτα ὑπερκεράσεως ἢ ἐξελάσεως αἰφνιδίας ὑπὸ τῶν ἐχθρῶν, ὡς εἰκὸς, γινομένης, αὐτὴ διὰ τοῦ νώτου, ἢ τῶν πλαγίων ἀπορούσα βοηθείας, καὶ μηδενὸς ὄντος τοῦ ΔΙΦΕΝΤΕΥΟΝΤΟΣ αὐτὴν καὶ ἐπιβοηθεῖν δυναμένου. Idem: κατέρχεσθαι αὐτοὺς ἀπὸ τῶν ἵππων, καὶ οὕτω πεζῇ

ἑαυτοὺς ΔΙΦΕΝΔΕΥΕΙΝ. Voces istæ occurrunt quoque in aliis recentioris æui scriptoribus, nec semel.

ΔΟΜΕΣΤΙΚΟΣ.

ΔΟμέστικος. Leo Constitut. III. §. 30. Ἔστι δὲ καὶ ἡ τοῦ στρατηγοῦ περιέλευσις εἰς τινὰς ἄρχοντας διαιρουμένη, οἷον τόν τε κόμητα τῆς κόρτης αὐτοῦ, καὶ τὸν τοῦ θέματος δομέστικον, καὶ, ὡς ἁπλῶς εἰπεῖν, εἰς τοὺς λοιποὺς ἐξ ἔθους τῆς περιελεύσεως αὐτοῦ ὑπηρέτας, οὓς περιττὸν ἡγούμεθα καταλέγειν. Leonis mentem aperit ac declarat Constantinus Porphyrogenneta lib. περὶ Θεμ. Τὸ καλούμενον, οὐκ οἶδα ὅπως, θέμα Ὀπτίματος, οὐδεμίαν ἔχει κοινωνίαν πρὸς θέματα· εἰς γὰρ δουλείαν μόνην προσείληπται, διὰ τὸ εἶναι αὐτὸ οἰκειότατον, καὶ μήτε τούρμαις, μήτε δρούγγοις τετιμημένον, ἀλλὰ τὸν τοῦτο κρατοῦντα, δομέστικον μόνον ἀγορευόμενον· εἰς γὰρ ὑπηρεσίαν ἐτέτακτο τῶν στρατιωτῶν, ὅτε ὁ βασιλεὺς

τοῖς ἔθνεσιν ἐπεστράτευον, στρατιωτῶν δὲ ἐκείνων τῶν ἐν τοῖς βασιλικοῖς τάγμασι ταττομένων, &c. paulo post: διὸ οὐδὲ εἰς θέματος τάξιν λελόγισται, οὐδὲ ὁ στρατηγὸς ὁ τούτου ἄρχων κατονομάζεται, ἀλλὰ, δομέστικος, ὁ ὑπὸ χεῖρα ὢν τοῦ στρατηγοῦ, καὶ τὴν ἀξίαν καταδεέστερος. Martianus apud Procopium lib.I. de bello Vandalico, Asparis Ducis Domesticus, hoc est arcanorum socius, dicitur.

ΔΟΜΕΣΤΙΚΑΤΟΝ, officium ecclesiasticum, apud Balsam. Can. Apost. 17.

ΔΡΟΜΩΝΕΣ.

ΔΡόμωνες. Leo Naumachicis, §. 3. Κατασκευασθῆναι δὲ καὶ δρόμωνας δεῖ ἀρκοῦντας πρὸς ναυμαχίαν κατὰ τῶν ἀντιστρατευομένων, &c. Procopius lib.I. de bello Vandalico. ἦσαν δὲ αὐτοῖς καὶ πλοῖα μακρὰ, ὡς ἐς ναυμαχίαν παρεσκευασμένα ἐνενηκονταδύο. μονήρη μέν τοι, καὶ ὀροφὰς ὕπερθεν ἔχοντα, ὅπως

οἱ ταῦτα ἐρέσσοντες πρὸς τῶν πολεμίων ὡς ἥκιστα βάλλοιντο· δρόμωνας καλοῦσι τὰ πλοῖα ταῦτα οἱ νῦν ἄνθρωποι. πλεῖν γὰρ κατὰ τάχος δύνανται μάλιστα. Ταρίδες, δρόμωνες, Nicet. Choniat.

Δ Ο Υ Ξ.

Δούξ. Mauricius lib. II. cap. 3. Μοιράρχης ὁ τῆς μοίρας ἄρχων, ὁ λεγόμενος δούξ. Idem cap. IV. καὶ ἐπιστῆναι αὐταῖς μοιράρχας χρησίμους τοὺς λεγομένους δοῦκας. Eclogę Basilicorum LVII. 14. Πᾶσα δὲ περιπέτεια κατὰ δουκὸς ἢ ἄρχοντος τοῦ στρατιώτου, κεφαλικὴν ἐπάγει τιμωρίαν. Cedrenus: Δοῦκα δὲ καὶ αὐτὸν γεγονότα, καὶ τοῖς ἀνωτέρω συναριθμηθέντα, νυνὶ δὲ ἐσχάτοις κακοῖς ὑποβεβλημένον. Curopalates: ὁ ἀμηράλιος ὑπὸ τὸν μέγαν δοῦκα εὑρίσκεται. Constantinus Porphyrogẽneta: ἀλλὰ πρότερον καὶ κατ' ἀρχὰς τάγματά τινα καὶ λεγεῶνες ὑπῆρχον ἀναγεγραμμέναι κατ' ἔθνος, ὡς ἡ λεγεὼν ἡ τῶν μ' μαρτύ-

ρων, ἡ ἄλλη Πισιδικὴ, καὶ ἑτέρα Θετταρικὴ, καὶ ἄλλη ἄλλως ὠνομαζομένη, ὑπὸ δοῦκα καὶ ἡγεμόνα τυγχάνουσα, πολλάκις δὲ πραιπόσιτον. Idem Δουκάτα, ἡγεμονίας, dixit: ὑπὸ τὴν Ρωμαίων βασιλείαν γενόμενοι, εἰς ἐπαρχίας διῃρέθησαν, καὶ ἡγεμονίας, καὶ δουκάτα· Anonym. ΔΟΥΚΑΤΩΡΕΣ. ὅτι οἱ δουκάτωρες μετὰ τοῦ πρεξίμου ἔσωσαν, ἢ μεθ᾽ ἑτέρου τινὸς, εἰς ὃν ὁ βασιλεὺς ὁ ἅγιος πληροφορίαν ἔχει.

ΔΡΟΥΓΓΟΣ.

Δροῦγγος, drungus, globus. Veget. Ἄθροισμα, πλῆθος, μοῖρα. Mauric. lib. II. Strategic. 3. Μέρος ἐστὶ τὸ ἐκ τελῶν μοιρῶν συγκειμένων ἄθροισμα, ἤγουν δροῦγγος. Idem lib. III. cap. 1. Οἱ ἀρχαῖοι τοῦτο παρατηρήσαντες εἰς δρούγγους ἤτοι μέρη, καὶ μοίρας διαφόρους, πρὸς τὴν χρείαν, ἔτασσον. Idem: τοὺς δὲ ψιλοὺς, μὴ ὡς τοὺς σκουτάτους ἐπ᾽ εὐθείας τάσσεσθαι, ἀλλὰ κατὰ δρούγγους, τουτέστι τρεῖς ἢ τέσσαρας.

Leo: Μοῖρα δέ ἐστιν, ἤτοι δροῦγγος, τὸ ἐκ ταγμάτων ἤτοι ἀνδρῶν τῶν λεγομένων κομήτων συγκειμένων πλῆθος. Δρουγγάριος, vni militum globo prȩerat: Leo Constitut. III. §. 9. Δρουγγάριος λέγεται ὁ μιᾶς μοίρας ἄρχων, ἥτις ὑπὸ τοῦ μέρους τοῦ τουρμάρχου τάττεται. Sed augustius aliquando fuit Drungarij nomen. Idem Leo, Naumachicis: Οὐκ ἀγνοῶ δὲ ὅτι πρὸ κατὰ τὴν ὁμοίωσιν τοῦ βασιλικοῦ πλωΐμου, καὶ οἱ τῶν ἄλλων θεμάτων πλώϊμοι στρατηγοὶ, δρουγγάριοι ἐκαλοῦντο ποτὲ τοῖς ἄνω χρόνοις, καὶ οἱ ὑπ' αὐτοὺς, κόμητες μόνον καὶ κένταρχοι, ἀλλὰ νῦν εἰς στρατηγίδα ἡ ἑκάστου τῶν δρουγγαρίων ἀρχὴ ἀναβέβηκε, καὶ οὕτω καλουμένη ταῖς στρατηγικαῖς καταμερίζεται τάξεσιν. Videatur Balsamo ad Epist. Basilij ad Amphiloch. ΔΡΟΥΓΓΙΣΤΙ, ἅμα, πυκνῶς, μάζα. occurrit passim.

ΕΜΠΕ-



ε.

ΕΜΠΕΤΟΣ.

Ἔμπετος, προσβολὴ, Impetus Barbarorum. Vrbicius: Καὶ ὅτι μὲν ἡ προσβολὴ τῶν βαρβάρων προσβολὴ, ὃν νῦν ἔμπετον καλοῦσι, κατενεχθήσεται, &c.

ΕΜΠΡΟΣΘΟΚΟΥΡΒΙΟΝ.

Ἐμπροσθοκούρβιον καὶ Ὀπισθοκούρβιον, Antelena, & Poſtelena, vt in veteribus Gloſſis. Leo Conſtitut. XII. §. 54. Πρέπον ἐστὶν ἵνα ὁ δεσπότης τὰς δύο σκάλας εἰς τὸ ἀριστερὸν μέρος τῆς σέλας ἔχῃ, τουτέστι τὴν μίαν πρὸς τῷ ἐμπροσθοκουρβίῳ, καὶ τὴν ἑτέραν πρὸς τῷ ὀπισθοκουρβίῳ, &c. Mauricius lib. III. Strateg. cap. 9. Δεῖ τὰς δύο

σκάλας τῶν διποτάπων καὶ τοῦ ἀριστεροῦ μέρους τὸ σέλας ποιεῖν, τουτέστι τὴν μίαν πρὸς τῇ κούρβῃ, ὡς ἔθος ἐστὶ, καὶ τὴν ἄλλην πρὸς τῇ ὀπισθοκούρβῃ. Vide Δεποτάτοι.

ΕΞΚΟΥΒΙΤΟΝ.

Ἐξκούβιτον. Constantinus Porphyrogenneta Themate XII. Τοῦ γοῦν Ἀρμενίου πεσόντος ἐν τῷ προλεχθέντι πολέμῳ πρὸς Συμεὼν τοῦ ἀθεωτάτου Βουλγάρου (ἦν γὰρ ἐξάρχων τοῦ βασιλικοῦ τάγματος τῶν καλουμένων ἐξκουβίτων.) &c.

ΕΞΠΕΔΙΤΟΝ.

Ἐξπέδιτον, Expeditio, ἔξοδος ἐνδημηλική στρατιωτῶν. Suidas. Ἐξπέδιτα, τὰ στρατιωτικὰ πλήθη. Historia Miſcella: Cum ergo Valens Boſphoro traiecto veniſſet in Thraciam, primùm quidem Conſtan-

tinopoli commoratus est præparans bellum: deinde Traianum magistrum cum expeditis cōtra Gotthos destinauit. Leo Constitut. III. §. 1. Ἐκλέξεις δὲ στρατιώτας ἀπὸ παντὸς τοῦ ὑπὸ σὲ θέματος, μήτε παῖδας, μήτε γέροντας, ἀλλὰ ἀνδρείους, εὐρώστους, εὐψύχους, εὐπόρους, ὥστε αὐτοὺς ἐν τῷ ἐξπεδίτῳ, ἤγουν ἐν τῇ συναγωγῇ τοῦ φοσσάτου, εἰς τὴν ἰδίαν στρατείαν ἀπολυομένοις, ἔχειν ἐν τοῖς ἰδίοις οἴκοις ἑτέρους τοὺς γεωργοῦντας. Theophilus Institut. De militari test. §. 1. διάταξις δὲ τοῦ ἡμετέρου βασιλέως τότε συνεχώρησεν αὐτοῖς τοῦτο ποιεῖν, ἡνίκα ἐν τοῖς κάστροις, ἢ ἐν τῷ ἐξπεδίτῳ, διάγουσιν.

ΕΠΙΣΕΛΛΙΟΝ.

Ἐπισέλλιον. Lexicon Cyrilli: Ἐπισέλλιον, Subsellium. Dagus. Mauricius lib. II. Strategic. c. 2. Χρὴ τὰς σέλλας ἔχειν ἐπισέλλια δασέα καὶ μεγάλα. Leo Constitut. VI.

§. 9. αἱ σέλλαι δὲ ἐχέτωσαν ἐπισέλλια δασέα καὶ μεγάλα.

ΕΠΙΛΩΡΙΚΑ.

Ἐπιλώρικα. Tzetzes β. ἐργ. καὶ φάρος ἐστὶ τὸ διεσχισμένον ἱμάτιον, ὃ καλοῦμεν ἐπιλώρικον, καὶ πᾶν τὸ οὕτως διεσχισμένον. Leo in cod. Regio Constitut. VI. §. 4. Ἔχειν δὲ καὶ ἐπιλώρικα ὅτε χρεία ἐπενδυόμενα. in cod. Mediceo: Πολλάκις δὲ ἔχειν καὶ ἐπιλώρικα ἐπενδυόμενον ὅτε χρεία γένηται. Sic fortasse legendum in Curopalate p. 35. φοροῦσιν καββάδια, ὅτε δὲ ἐπιλώρικα. & p. 37. φορεῖ δὲ φακεωλίδα καὶ ἐπιλώρικον. Rectène autem Franc. Iunius, prætextas vittatas loris? Suid. Μανδύας.

ΕΤΕΡΗΣΑΙ.

Ἐτερῆσαι, νεωτερῆσαι, ἀταξίας ποιεῖν. Vide, Πεδαζούερα.



ζ.

ΖΑΒΑΙ.



Ζάβαι, Loricæ. Suidas, Ζάβα τὸ λωρίκιον. Ζαβάρειον, ἐν ᾧ αἱ ζάβαι, αἵ εἰσιν ὅπλα πολεμικὰ ἀπόκεινται. Zabati, loricati. Mauricius lib. XI. Strategic. καλὸν δέ ἐστιν ἵνα πολλοὶ ζαβάτοι φαίνωνται τοῖς πολιορκουμένοις. Idem. ἄχρι τριῶν ἢ τεσσάρων χιλιάδων ζαβάτων καὶ χρησίμων, τῶν ὀφειλόντων, εἰ καιρὸς γένηται, τοῖς τρεπομένοις τῶν ἐναντίων ἐπιτιθέναι. Zabarum mentio fit. Nouella LXXXV. & Iulian. Antecess. CP. Nouel. LXXIX.

ΖΙΒΥΝΗ.

Ζιβύνη. De Sigynnis & Sibunis præclara docuere doctissimi viri. Scri-

bitur etiam Ζηβύνη & Ζιβύνη. Vetus Glossarium: Ζηβύνη Venabulum. Item: Ζιβύνη, venabulum. Philon lib. V. Βελοποιικῶν. Καὶ ἐκ τῶν πλαγίων τοίχων ὀπὰς ποιητέον, δι' ὧν ἀκοντίοις, καὶ ταῖς ζιβύναις, καὶ τοῖς βουπόροις ὀβελίσκοις ἔσται τύπτειν εἰς τὰ πλάγια τοὺς εἰς τὰ ἄμφοδα βιαζομένους. Idem: ἐὰν δὲ ἀντιμεταλλευόντων τῶν ἔνδοθεν συζυγηθῇ, ἢ εἰς λεπτὸν συνέλθῃ τὸ ὄρυγμα, χρηστέον τοῖς βουπόροις, καὶ τοῖς γαίσοις, καὶ ταῖς ζιβύναις, καὶ τοῖς τετρασπιθάμοις καταπέλταις. Suidas: Ζιβύνη, ὁλοσιδήρεον ἀκόντιον, λόγχη, σπάθη. Alij scribebant, Σιγύμνον: Isaacius Tzetzes in Lycophr. σιγύμνῳ καὶ σιδηρῷ ἀκοντίῳ τὰ πλευρὰ ῥήξας τοῦ βοός.

ΖΩΣΤΑΡΙΟΝ.

Ζωστάριον. Vestis breuior. Mauricius: Εἴτε ζωστάρια γοτθικά, εἴτε δερμελαύσια ἔχουσι, κοντὰ μέχρι τῶν γονάτων αὐτῶν δεῖ φορεῖν αὐτούς. Idem: Χρὴ τὰ ἱμάτια αὐτῶν πλατέα εἶναι καὶ τέλεια, κατὰ τὸ σχῆμα τῶν Ἀβάρων κεκομμένα, τουτέστι ζωστάρια.



θ.

Θ Ε Μ Α.



Θέμα, θέσις, τάξις. Mauricius lib. II.cap.2.Strat. Χρὴ τὰ φλάμουλα ἑκάστης μοίρας ἰδιόχροα εἶναι, ἵνα καὶ τὸ ἕκαστον θέμα εὐκόλως ἐπιγινώσκῃ τὸ ἴδιον βάνδον. Leo Constitut. I. §. 17. Σκοπὸς τοῦ στρατηγοῦ τὰ μὲν ὑπ᾽ αὐτὸν θέματα αὐξῆσαι, &c. Idem Constit. III. §. 1. Ἐκλέξεις δὲ στρατιώτας ἀπὸ παντὸς τοῦ ὑπὸ σὲ θέματος. Idem. VI. §. 15. θεματικῶν βάνδων τοὺς δυνατωτέρους, ἀναγκάζεσθαι χρή, &c. Κεῖται θεματικοί, Constant. Nouel. XI. Manuel Comnenus Nouel. II. τινὲς θεματικοὶ ἔν τε τῇ βασιλίδι τῶν πόλεων, καὶ ἀλλαχοῦ ἔνθα διάγει ἡ βασιλεία μου, &c. Videndus Constantini Porphyrogenetę lib. περὶ

Θεμάτων. & Iac. Cuiacius De diuerſ. temp.cap.XIIX.

ΘΗΚΑΡΙΟΝ.

ΘΗκάριον, coryton. Vetus Interpres ad illa Papinij IX. Theb.

--- cœleſtibus implet

Coryton telis.

Coryton, inquit, theca arcus ſolius. ſicut Pharetra ſagittarum, & Sagma ſcuti: Gloſſæ veteres: Goruthum, βελοθήκη. Θηκάριον, & Ημιθηκάριον, theca & ſemitheca arcus, quem iam tenſum in theca geſtabant. quod cernere eſt in nummi argentei figura. Hercules leonem ſuffocat. in proximo habet clauam & ſemithecam in qua arcus iam tenſus. Expreſſit Goltzius Faſt. pag. 144. Mauricius lib. II. Strateg. cap. I. Ἔχειν μὲν τὸ τόξον τεταμένον ἐν τῷ ἰδίῳ θηκα-

ρίῳ

είῳ ἐὰν πλατύ ἐστιν, ἢ ἐν ἄλλῳ ἡμιθηκαρείῳ ἐπὶ τούτῳ γινομένῳ. Idem cap. 2. Τοξάρεια κατὰ τὴν ἑκάστου ἰσχὺν, καὶ οὐχ ὑπὲρ αὐτήν· μᾶλλον δὲ καὶ ἀπλούστερα, ἔχοντα θηκάρεια πλατέα, ἵνα ἐν καιρῷ δυνατόν ἐστι τεταμένα χωρεῖν τὰ τόξα ἐν αὐτοῖς. Leo Conſtitut. VI. §. 11. καὶ ἀποτίθεσθαι τὸ τόξον τεταμένον ἐν τῷ θηκαρείῳ, εἰ πλατύ ἐστιν, ἢ ἐν ἄλλῳ ἡμιθηκίῳ ἐπὶ τούτῳ γινομένῳ δικαίρεως. Mollior tamen hæc militia videtur Sidonio lib. I. Epiſ. 2. Arcum manui poſt tergum reflexæ puer inſerit, neruo loro-ue fluitantibus; quem ſicut puerile computat geſtare thecatum, ita muliebre, accipere iam tenſum.

I



ι.

ΙΛΑΡΧΗΣ.



Λάρχης. Mauricius Strateg. Ἰλάρχης προσαγορεύεται ὁ πρῶτος μὲν τῶν ἑκατοντάρχων, δευτερεύων δὲ τῷ κόμητι, ἤτοι τελεύνῳ.

ΙΠΠΑΚΟΝΤΙΣΤΑΙ.
ΙΠΠΟΤΟΞΟΤΑΙ.

LEo Constitut. VI. §. 34. Ἀκροβολισταὶ δὲ τῶν καβαλλαρίων ἐκαλοῦντο, ἤγουν οἱ μακρόθεν βάλλοντές τε καὶ μαχόμενοι. Τούτων δὲ οἱ μὲν δορατίοις, ἤγουν ῥιπταρίοις ἐκέχρηντο, οἱ δὲ τόξοις· καὶ οἱ μὲν αὐτῶν μακρόθεν ἔρριπτον τὰ ῥιπτάρια, ἢ ἐπ' εὐθείας ἐρχόμενοι, ἢ κύκλῳ περιτρέχοντες, οὓς ἐκάλουν ἱππακοντιστάς, οἱ δὲ τοῖς τόξοις ἔβαλον, οὓς ἔλεγον ἱπποτοξότας. Constan-

tinus Tactic. ἄλλοι δὲ ἀπὸ μακρόθεν ἔρριπτον, ὡς εἴρηται, τὰ ῥιπτάρια, ἢ ὀρθὰ ἐρχόμενα πρὸς τοὺς πολεμίους, ἢ κύκλῳ περιτρέχοντες, οὓς ἔλεγον ἱππακοντιστάς. τὸ δὲ ἔρριπτον μετὰ τῶν τοξαρίων, οὓς ἔλεγον ἱπποτοξότας.

ΙΠΠΟΚΛΑΣΤΑΙ.

ΙΠποκλάσται, ὀρύγματα. Dolus & ſophiſma in bello ſcrobibus orbiculatis paſſim per agrum effoſſis, ac palis intus defixis, vt ingruentes hoſtes, vnà cũ equis, veluti pedicis intercepti, conciderent. Mauricius lib. IV. Strateg. Γίνεται δὲ (ὁ δόλος) κατὰ τὸν ὅμοιον τρόπον καὶ αὐτῶν τριβόλων· στρογγύλων ὀρυγμάτων τῶν λεγομένων ἱπποκλαστῶν ὀρυσσομένων παρεξάλληλα, ἀπὸ ἑνὸς ποδὸς τὸ ἔμφωτον ἐχόντων, καὶ βάθος, ἢ δύο, ἢ τριῶν, καὶ πάλων ὀξέων καταπειρομένων ἐν αὐτοῖς. Leo Conſtitut. XIV. §. 47. Γίνεσθαι δὲ δύναται κατὰ τὸν ὅμοιον τρόπον καὶ αὐτῶν τριβόλων, ἐάν τις στρογγύλα ὀρύγματα, ἃ ἔλεγον οἱ παλαιότεροι

ἱπποκλάσας, ὀρύξῃ διεσπαρμένα, ἀπὸ ἑνὸς ποδὸς διάστημα ἔχοντα, καὶ βάθος δύο ἢ τριῶν ποδῶν, καὶ πάλοις ὀξεῖς ἐμπήξῃ ἐν αὐτοῖς. Iulius Africanus: Γυρόθεν δὲ τοῦ τοιούτου (τόπου) δεῖ ὀρύσσειν τάφρον, τὸ μὲν βάθος ποδῶν ἑ, τὸ δὲ πλάτος ποδῶν ἑπτὰ ἢ ὀκτὼ, καὶ τὸ χῶμα παρατιθέναι ἐν τῇ ἐσωτέρᾳ ὄψει, ὡς πρὸς τὸ στρατόπεδον, ἔξωθεν δὲ τοῦ τοιούτου τάφρου καταπείρειν τριβόλους συνδεδεμένους, ἢ φόσσας μικρὰς ἐχούσας ἔνδοθεν σκόλοπας, ποδάγρας, ἢ ποδοκλάσας λεγομένας.



x.

ΚΑΒΑΛΛΑΡΙΟΙ.



Αβαλλάριοι, ἱππεῖς. Lexicon Cyrilli ms. Καβαλλάριος, ἔφιππος ὁ ἐν ἵππῳ καθήμενος· καβάλλης γὰρ ὁ ἵππος. Caballum, equum, prisci

quoque auctores vocauerunt. Lucillius & Varro apud Marcellum. Martialis lib. X. & XII. Pomponius l. XV. D. de instruct. vel instrum. leg. Papianus Respons. XXIIX. Petronius Satyrico. Sic Hippocrenen Ausonius, fontem caballi, dixit: Persius, fontem caballinum. Sic Isidorus caballarium, alarem: & caballum sagmarium. In Gloss. m. s. caballus, cabo, equus. Cabo, caballus, sonipes, equus. Glossæ veteres: Kaballarium, κέλητα. Nicetas, καβαλλικεῦσαι, ὡς κέλητι χρῆσθαι. Τὴν ἀσπίδα ὑποθεὶς τῷ ὕδατι, ὡς κέλητι ταύτῃ ἐχρῆτο. Curopalates: Ὅταν δὲ καβαλλικεύῃ πως ἱππεύων. Leo Constitut. VI. §. 12. ἵνα ἐν τῷ καβαλλικεύειν μὴ ἐμποδίζωνται. Mauricius: καβαλλικευόντων αὐτῶν σκέπεσθαι δι' αὐτῶν τὰ γόνατα καὶ εὐσχήμοις αὐτοὺς φαίνεσθαι. Ibidem καβαλλαρικὸς στρατός. καβαλλαρικὴ τάξις, καβαλλαρικὰ τάγματα, καβαλλαρικὸν ἔθνος.

Apud Nicetam, καβαλλαρικὸν στράτευμα, εὔπολος ἢ εὔιππος στρατιά. Curopal. καβαλλαρίου διερχομένου τοῦ βασιλέως. rege in equo vehente. Ibid. καβαλλαρίκιον τοῦ βασιλέως. Ab eadémque forma dixerunt Latini caballicare, equitare. In legibus Alamannorum: SI QVIS HOMO IN EQVO SVO CABALLICAVERIT, &c. Honorius & Theodosius AA. Caballationem l. 15. lib. XII. Codicis. De erogat. milit. annonæ.

ΚΑΛΚΑΤΟΥΡΑ.

Καλκατοῦρα, καταπάτησις, calcatura. Mauricius lib. IX. Strateg. Ὁ ἐν πείρᾳ σκουλκάτωρ, δύναται ἐκ τινῶν σημείων, καὶ πρὶν ἢ τοὺς πολεμίους θεάσηται, κατανοῆσαι τὸ μέτρον τοῦ πλήθους αὐτῶν, ἐκ τε τῆς τῶν ἵππων καταπατήσεως, καὶ ἐκ τῶν ἀπλίκτων αὐτῶν. δύναται δὲ καὶ τὸ

τόπον συζάσασθαι ποτὲ διὰ τῦ πόνου.* πορθῆλθον, ἐν ᾧ τῶν ἵππων καὶ τῶν ἀνθρώπων κόπον, καὶ τῆς καλκατζούρας αὐτῶν.

ΚΑΛΠΑ.

Κάλπα, motus siue incessus temperatus & compositus. Leo Constitut. VII. §. 37. Καὶ τὰ κοντάρια ἀναβασταζόντων ἐπὶ τῶν ὤμους αὐτῶν, καὶ ὑποκρυπτομένων μετὰ τῶν σκουταρίων ἐπελαύνειν εὐτάκτως* τετραπόδῳ μόνῳ, ἤγουν κινήματι συμμέτρῳ τῷ λεγομένῳ κάλπα, καὶ μὴ βιαίως τρέχειν. In cod. Mediceo. ἐπελαύνειν εὐτάκτῳ καὶ συμμέτρῳ κινήματι τ. λ. κ. κ. μ. ἰσχυρῶς τρ. Suidas: καλπάζειν, τὸ ἀβρῶς βαδίζειν. molliter & suspenso pede incedere.

ΚΑΜΑΡΔΑ.

Καμάρδα. Τέντα. Leo Constitut. §. 12. Τέντας διπλᾶς ἢ σαγία διπλᾶ, εἰς τὸ τὸ μὲν ἐν σκέπεσθαι, εἴπερ χρεία καλέσοι, τὸ δὲ ἕτερον εἰς

τεύταν, ἤτοι τὸ λεγόμενον καμβρόδην, ἔχειν. Nec plena interpretatio Filippi Pigafettæ. Mauricius lib. V. cap. 3. εἰς τὴν τεύταν ἤτοι καμβρόδαν ἔχειν καὶ ἀνάπαυλιν βουκελάτου. Leo Constitut. §. 193. κοινοποιήσεις τὰ κουλουβέρνια, καὶ εἰς μίαν καμβρόδαν λεγομένην τὰ δύο ποιήσεις ἀναπαύεσθαι. Indeque hodie vocant, Camarades.

ΚΑΜΕΛΑΥΚΙΟΝ.

Καμελαύκιον. Suidas: Ῥωμαϊκὴ ἡ λέξις· ῥηθείη δ' ἂν καὶ ἑλληνιστί, παρὰ τὸ καῦμα ἐλαύνειν, καυμελαύκιον. sic impleo è vetere Glossario ms. in quo prӕterea legitur: Καυμασία καὶ καμελαύκιον, διὰ τὸ πρὸς τὸ καῦμα ἐπιτήδειον εἶναι. Hodiéque pileum latum, dicunt, καμιλαύχι: & pannum vtrinque pendentem, καμίλαβο. Cedrenus 139. ἔστι δὲ καὶ ἑτέρα καταστολὴ σαυειδὴς ἀντὶ πίλου τῇ κεφαλῇ τιθεμένη· καλεῖται δὲ παρ' Ἰταλοῖς κάμελα, ἐξ οὗ καὶ καμελαύκια.

Item

Item Καμελαύκιον, φοινικὶς, bellici conflictus signum. Leo Naumachicis, §. 45. Ἐν γὰρ πολέμου καιρῷ σημεῖον εἶχον τῆς συμβολῆς, αἴροντες τὴν λεγομένην φοινικίδα· ἤγουν τὸ λεγόμενον καμελαύκιον ἐπὶ κονταρίου ὑψούμενον, ἐρυθρὸν τὴν χρόαν. Καυμασία, tegumenti & galeæ vsum prębuit. Antipater:

> ---- μακεδόσιν εὔκολον ὅπλον,
>
> καὶ σκέπας ἐν νιφετῷ καὶ κόρυς ἐν πολέμῳ.

Iulius Aphricanus: καὶ ῥάπται περὶ ἐπιλώρικα καὶ καμαλαύκια παχέα εἰ δέησοι ἀντὶ κασσίδος. Lexicon Cyrilli ms. Κίδαρις, περίθεμα κεφαλῆς εὐκόσμιον, καλὸν, εἶδος καμαλαυκίου. Fortean hinc emendandum vetus Glossarium, in quo legitur: Galerus, calamancus. Idem: Pileum, calamancum.

ΚΑΜΠΟΣ.

Κάμπος, χωρίον. Nicet. Choniat. κάμπος, ἤγουν πεδίον. Idem: κάμπος, πεδίον

ὕπλιον. Mauricius Strateg. Ἐὰν τοξόται εἰσὶν, εἰς κάμπους τάσσεσθαι σπουδάζειν, καὶ τὴν ἐκ χειρὸς συνάψεις μάχην ποιεῖσθαι. Leo Constitut. VII. §.32. μὴ ἐλάσῃς ἰσχυρῶς ἐν τῷ κάμπῳ, ἵνα μὴ σκορπίσῃς τὴν σὴν τάξιν.

ΚΑΜΠΙΔΟΥΚΤΩΡ.

Καμπιδούκτωρ, ὁδηγός: Mauricius Strategic. Ἔμπροσθεν δὲ τοῦ μετώπου περιπατοῦσιν ὁ καμπιδούκτωρ καὶ ὁ μανδάτωρ· ὁ μὲν τοὺς τόπους ἐρευνῶν καὶ ὁδηγῶν· ὁ δὲ τὰ * μανδάτα γνώμῃ τοῦ ἄρχοντος διδούς. Idem: Προπορευομένου τοῦ ἄρχοντος ἅμα τῷ βανδοφόρῳ καὶ μανδάτωρι, καὶ καμπιδούκτωρι, καὶ τουβάτωρι ἐπακολουθοῦσιν ὡς ὡρίσθησαν οἱ λοχαγοί. Idem, VII. cap. I. Ὅπου μὲν τριβοῦνον γενναῖον καὶ φρόνιμον καὶ κατὰ χεῖρα μάχεσθαι δυνάμενον, ὅπου δὲ βικάριον, ἢ καμπιδούκτωρα. &c. In Suida scribitur, Καμπιδήκτωρ.

KANTATΩP.

KAντάτωρ. παρακλήτωρ. στρατοκήρυξ. Tit. apud Leonem: Περὶ τοῦ λεγομένου καντάτωρος, ἤγουν στρατοκήρυκος. Idem Leo Constitut. III. §. 6. Παρακλήτορες δὲ οἱ διὰ λόγων διεγείροντες τοὺς στρατιώτας πρὸς τοὺς ἀγῶνας, οὓς οἱ περὶ ἡμᾶς νεώτεροι, καὶ τῶν ἄλλων τακτικοὶ, ῥωμαϊστὶ καντάτορας ἐκάλεσαν. Idem Cōstitut. XII. §. 72. Ἁρμόδιον δὲ ἡμῖν καταφαίνεται, ἐν τῷ τῆς συμπλοκῆς καιρῷ, καὶ τὸ τῶν λεγομένων καντατόρων ἔργον. οὗτοι δέ εἰσιν οἱ τοὺς στρατιώτας διὰ λόγων προθυμοῦντες, καὶ συμβουλεύοντες, καὶ κατεπᾴδοντες, καὶ παρακαλοῦντες πρὸς τοὺς ἀγῶνας. Sequenti §. Λέγειν δὲ τοὺς καντάτορας πρὸς τοὺς στρατιώτας προτρεπτικά τινα πρὸς τὸν πόλεμον τοιαῦτα. Πρῶτον μὲν ἀναμιμνήσκοντας τὸν μισθὸν τῆς εἰς θεὸν πίστεως, καὶ τὰς ἐκ βασιλέων εὐεργεσίας, καὶ τινῶν ἐπιτυχιῶν προγεγενημένων· καὶ ὅτι ὁ ἀγὼν ὑπὲρ θεοῦ ἐστι καὶ τῆς εἰς αὐτὸν ἀγάπης, καὶ ὑπὲρ ὅλου τοῦ ἔθνους,

πλέον δὲ ὑπὲρ ἀδελφῶν τῶν ὁμοπίστων, εἰ τύχοι, ὑπὲρ γυναικῶν, καὶ τέκνων, καὶ πατρίδος. καὶ ὅτι αἰωνία ἡ μνήμη τῶν ἀριστευόντων κατὰ πολέμοις ὑπὲρ τῆς τῶν ἀδελφῶν ἐλευθερίας· καὶ ὅτι κατὰ τῶν τοῦ θεοῦ ἐχθρῶν ὁ τοσοῦτος ἀγών. καὶ ὅτι, ἡμεῖς μὲν τὸν θεὸν ἔχομεν φίλον, τὸν ἔχοντα ἐξουσίαν τῆς ῥοπῆς τοῦ πολέμου, ἐκεῖνοι δὲ ἐναντίον αὐτὸν ἔχουσι διὰ τῆς εἰς αὐτὸν ἀπιστίας· καὶ εἴ τι ἕτερον τούτοις ὅμοιον ἐπινοοῦντας ποιεῖσθαι τὴν παρακλητικὴν νουθεσίαν· πολλὰ γὰρ ἰσχύει τοιοῦτος λόγος εὐκαίρως γινόμενος διεγεῖραι ψυχὰς, μᾶλλον ἢ χρημάτων πλῆθος. Idem Cantatorum siue prædicatorum meminit etiam §. 122. Nec placet interpretatio Pigafettę: del messagiero ò nuntio dell' essercito.

ΚΑΠΛΙΑ.

Καπλία & καπούλια. Vide Σκαπλία.

ΚΑΠΠΑ.

Κάππα, Cappa. Mauricius Strateg. VII. Γονομένων δὲ αὐτῶν ἐν τῷ τῆς παρα-

τάξεως τόπῳ, ἵσταται ὁ ἄρχων, καὶ μετ' αὐτὸν ὁ βανδοφόρος, ὄπισθεν δὲ αὐτοῦ ὁ τὴν κάππαν βαστάζων, καὶ μετ' αὐτὸν ὁ τὴν τύβαν. Vualafridus Strabo lib. De quibusdam reb. ad miss. spect. Dicti sunt autem primitùs cappellani, à cappa beati Martini, quam reges Francorum ob adiutorium victoriæ in prœliis solebant secum habere. quam ferentes & custodientes cum ceteris sanctorum reliquiis clerici, cappellani cœperunt vocari.

ΚΑΡΑΓΟΣ.

KΑραγός. Leo Constitut. III. §. 54. Καραγὸς λέγεται ὁ διὰ τῶν ἁμαξῶν, καὶ τῶν ἄλλων μηχανῶν, γινόμενος περιορισμὸς εἰς ἀσφάλειαν τοῦ στρατοῦ. Idem Constitut. XI. §. 45. Τὸν μὲν καραγὸν, ἤτοι τὰς ἁμάξας, καὶ τὰ ὅμοια. & 49. καραγὸν δὲ λέγομεν τὰς ἁμάξας, καὶ τὸν δι' αὐτῶν περιτειχισμὸν τοῦ

φοσσάτου. Hinc quod vocant, Cariage.

ΚΑΡΒΑΤΙΩΝΕΣ.

Καρβατίωνες. Philon V. Βελοποι. Δεῖ καὶ βάλλειν ἐκ τῶν καρβατιώνων λίθοις ὡς μεγίστοις τοὺς πλησιάζοντας τῷ τείχει.

ΚΑΡΦΙΑ.

Κάρφια, ἧλοι. clauiculi, quibus suppingebantur militum calcei, quò diutiùs per itinera durarent. vnde Clauati dicti, eo quod minutis & acutis clauis vincirentur. Isidor. Origin. XIX. cap. vlt. Leo Constitut. V. §. 5. Λωρόσσοκα, πεδικλὰ, σεληναῖα, σιδηρᾶ μετὰ καρφίων αὐτῶν, ῥινία, σουβλία. Idem Constitut. VI. §. 25. Τὰ δὲ ὑποδήματα αὐτῶν ἀναγκαῖον ἐστὶν μικροῖς καρφίοις καθηλοῦσθαι πρὸς πλείονα ὑπουργίαν· χρήσιμα γὰρ ταῦτα ἐν ταῖς ὁδοιπορίαις μάλιστα. alia lectio in cod. Regio: τὰ δὲ ὑποδήματα αὐτῶν μὴ ἔχειν ὀξείας

ἐμπεπαρθαι· ἀναγκαῖον δὲ καὶ ὀλίγοις μικροῖς ἥλοις καθηλοῦσθαι αὐτὰ, ἤγουν καρφίοις, πρὸς πλείονα ὑπουργίαν. χρήσιμα γὰρ ταῦτα. Mauricius Strateg. pro ἥλοις, aut καρφίοις, dixit: κέντζοις. Vide Ῥωθώνια. Festus: Clauata, calciamenta clauis confixa. Qualia erant rusticorum: Theophrastus Charact. IX. καὶ εἰς τὰ ὑποδήματα ἥλοις ἐγκρούσαι.

ΚΑΣΣΙΔΕΣ.

Κασίδες, Cassides, Galeæ. Mauricius I. Strateg. Κασίδας ἐχούσας ἄνωθεν τουφία μικρά. Idem lib. VII. εἰ δὲ γυμνός ἐστι καὶ καθαρὸς ὁ ἀὴρ, τότε τὰς κασίδας παρασκευάζειν· μὴ πρὸ πολλοῦ φορεῖσθαι, ἀλλὰ ταῖς χερσὶ κατέχεσθαι μέχρις οὗ ἐγγίσωσιν οἱ ἐχθροί. Nicet. Choniat. Κάσσις, κασίδιον.

ΚΑΣΤΡΟΝ.

Κάστρον. Suidas: Κάστρον κατὰ Ῥωμαίους παρεμβολὴ ἀσφαλής. Vrbicius: Κάστρον

κινούμενος κατὰ τετράγωνον σχῆμα. Mauricius in Legibus militaribus: Εἴ τις παραφυλακὴν πόλεως ἢ κάστρου τις ἀθετεῖ, τοῦτο προδῶσι, &c. Sic apud Nicetam, κάστρον, πόλις, τειχισμός, πόλισμα· ἰσόγαιον ἀπὸ τῶν ἔσωθεν, γήϊνον ὄροφον. Hinc fortè καστρεύειν, munire: Scriptor apud Suidam: καστρεύσαντες δὲ ἑαυτοὺς περὶ τὸν ἀρχιεπίσκοπον διὰ παρακλήσεως πείθειν ἐνόμιζον. Item Καστελλῶσαι, apud Mauricium: χρησίμους δὲ τοξότας βάλλειν ἐν αὐτοῖς, ἢ γυναῖκας, καὶ καστελλῶσαι αὐτούς.

ΚΕΝΤΆΡΚΟΣ.

Κένταρχος, Leo Constitut. III. §. 6. Πρώτη κεφαλὴ ὁ στρατηγὸς, καὶ μετ' αὐτὸν οἱ μεράρχαι, εἶτα δρουγγάριοι, εἶτα οἱ κόμητες, ἤγουν οἱ τῶν λεγομένων βάνδων ἄρχοντες· εἶτα οἱ κένταρχοι, ἐφεξῆς δὲ οἱ δέκαρχοι, ἤγουν οἱ πρῶτοι τῶν λεγομένων ἀκιῶν. Ibidem. §. 11. Κένταρχος δέ ἐστιν ὁ ἑκατὸν ἀν-

δρῶν

δεκῶν ἀρχων, ἤτοι ἑκατόνταρχος. Basilius Naumachicis: Ἑκατοντάρχης, ὁ ἐπὶ μιᾶς τινὸς ἑκατὸν ἀνδρῶν ἡγούμενος, ὅστις καὶ τετράρχος κέκληται. ἔστι δὲ ὁ λεγόμενος κένταρχος· κέντουμ γὰρ παρὰ ῥωμαίοις ὁ ἑκατὸν ἀριθμός· προσηγόρευται καὶ κένταρχος, ὁ ἑκατὸν ἀνδρῶν ἡγούμενος. Vide, Κόμης.

KENTOΥKΛA.

KΈντουκλα, cētunculi. Mauricius Strategic. III. cap. 2. Προμετωπίδια ἔχειν σιδηρᾶ κατὰ τῶν μετώπων τῶν ἵππων, καὶ στηθῆα σιδηρᾶ, ἢ ἀπὸ κεντούκλων. Idem: * κουνία, ἤγουν νευρικὰ, ἀπὸ κεντούκλων πλατέα πάνυ. Idem XI. de Scythis: οὐκ αὐτοὶ δὲ μόνον ὁπλοφοροῦσιν, ἀλλὰ καὶ οἱ ἵπποι τῶν ἐμφανῶν σιδήρῳ, ἢ κεντούκλοις, τὰ ἔμπροσθεν μέρη σκέπονται. Leo Constitut. V. §. 5. νευρικὰ τὰ ἀπὸ κεντούκλων γινόμενα, καὶ αὐτὰ ἀντὶ λωρικίων τοῖς μὴ ἔχουσι σιδηρᾶ· κέντουκλα φαρδέα εὐ-

δύοντα τῶν στρατιωτῶν μετὰ τῶν ὅπλων. Idem Constitut. VI. §. 8. Τοὺς δὲ ἵππους καὶ μάλιστα τῶν ἀρχόντων, καὶ τῶν λοιπῶν ἐπιλέκτων, περιμετωπίδια ἔχειν καὶ στηθίδια, ἢ σιδηρᾶ, ἢ ἀπὸ κεντούκλων, ἤτοι νευρικά. Idem §. 13. Χρὴ τὰ κέντουκλα ἔχειν πλατέα πάνυ, ἔχοντα μανίκια πλατέα, &c. Idem paulo post: Ἔστι δὲ καὶ ἄλλως πῶς ἀναγκαῖα τὰ κέντουκλα ἐν ταῖς * βίγλαις. οὐ διαφαίνονται γὰρ μήκοθεν αἱ ζάβαι τοῖς πολεμίοις, ὑπ' αὐτῶν σκεπόμεναι. Nec solùm homines aut equi, sed & machinæ ipsæ centuclis tegebantur. Apollodorus Poliorceticis: Καὶ γὰρ ἐκ τῶν ἐμπροσθίων μερῶν σκέπεσθαι ὀφείλει βύρσαις καὶ κεντούκλοις. Idem: σκέπεται δὲ ὅλος ὁ κόραξ διὰ βύρσης καὶ κεντούκλου. Κέντουκλα igitur βύρσαι συνερραμμέναι. Et mimi personam, centunculum vocat Apuleius in Apolog.

ΚΕΦΑΛΗ.

Κεφαλή. πρόσω κεφαλή, chef d'armée. capitaine. Leo Constitut. III. §. 6. Πρόσω κεφαλή ὁ στρατηγός. Κεφαλεύειν, ναυαρχεῖν, ἢ στρατηγεῖν. Nicet. Choniat. Κεφαλατίκιον, ἡγεμονία. Κεφαλατικεύων, ἄρχων. Κεφαλάδας, στρατηγός. Κεφαλάδαι τῶν δημοσίων ἐνοχῶν, ἤτοι τὰς δημοσίας ἀναζωννύμενοι ἀρχάς. Κεφαλάδες, ἀρχικῶς προεδρεύοντες. Sic apud Curopalatem: τρίτον δὲ, λόγῳ τῶν μερικῶν κεφαλάδων, ἀφ' οὗ μέρους ἕκαστος ἄρχει.

ΚΕΡΚΙΤΑ.

Κέρκιτα. Circationes. Anonymus scriptor περὶ καταστάσ. ἀπλ.: Δεῖ τὰς ἔνδον τοῦ χάρακος ἐν κύκλῳ, φυλακὰς ἤτοι κέρκιτα ἐπιμελῶς γίγνεσθαι ἐν τῷ κενῷ χωρίῳ. Iulius Aphricanus: Οὐδέποτε γὰρ ἅμα πάντες ὁμονοήσουσι πρὸς προδοσίαν ἢ φύλακες, οὐ-

δὲ πάλιν ἐν ἑνὶ καὶ τῷ αὐτῷ καιρῷ πρὸς βαθὺν ὕπνον κατενεχθῶσι· καὶ μάλιστα ἐὰν κέρκετα ἢ παρακέρκετα ἐπινοηθῇ, ἀλλὰ μὴ περὶ πρώτην φυλακὴν τῆς νυκτὸς, ἀλλὰ δὲ περὶ δευτέραν, ἢ ἕτερα περὶ τρίτην. Paulùm ab his dissentit Gloss.ms. Κηρκήτορες, οἱ περὶ τοὺς μαχομένους περιϊόντες, ἢ χορηγοῦντες ὅπλα, αὐτοὶ μήπω ἐπιστάμενοι μάχεσθαι. Vt autem Κέρκετα, sic & Κερκιλεύεσθαι dixit idem Anonymus: Ἐχέτωσαν δὲ ἢ ἀρχηγοὺς τῶν χρησίμων, ἵνα ἢ παρ' αὐτῶν δεόντως αἱ βίγλαι τὰς στάσεις λαμβάνωσι καὶ κερκιλεύωνται. Corona pretiosa: Cerchare, γυρεύειν, μαστεύειν. Veteres quoque dixerunt, Circare. circaneam auem. circitores. Glossæ Isidori ms. Circat, circumuenit. Κέρκετα ποιεῖν, faire la ronde. cherguet. Vet. Gloss. Tit. de militia. Circitus, περιοδεία.

ΚΙΝΣΤΕΡΝΗ.

Κινστέρνη, cisterna, ad militares vsus. Mauricius XI. Strategic. sub fin. Χρήσιμον δέ ἐστι καὶ τὸ ὄξος ἐν τοῖς ἀφανιζομένοις ὕδασιν· ἀμβλυωπεῖ γὰρ καὶ μεταβάλλει τὴν τούτου ὀσμὴν εὐκόλως. Δυνατὸν δέ ἐστι καὶ σανίδας παρασκευάσαι παχυτέρας, καὶ ἐν κατορύγματι συμπῆξαι αὐτὰς ὡς ἐπὶ σαρπίου, καὶ διὰ πίσσης καὶ στυπείου, ἢ καμψαρικῶν καταασφαλίζεσθαι τὰς σχίζας, ἤτοι τοὺς ἁρμοὺς αὐτῶν. Καὶ ἐν τάξει ξυλίνης κινστέρνης κατασκευάσαι * συμμίζου, εἴτε μίαν, εἴτε πλείους, ἐχούσας * κ' ἐπὶ δέκα πόδας μῆκος, καὶ ὕψος ὀκτὼ ἢ δέκα, μέχρις οὗ καὶ ἐγχώρηθι κινστέρναι γίνονται. δῆλον γάρ ἐστιν ὡς ἐν τοῖς * μειζοτέροις ἀγγείοις πλέον τὸ ὕδωρ διαμένει. κατοχία δὲ ξύλινα ἐν τῷ μέσῳ τῶν κινστέρνων * δεῖ βάλλεσθαι, καὶ σανίδας παχείας, ἵνα μὴ τῷ πλήθει τοῦ ὕδατος βιαζόμεναι αἱ σανίδες, διαστρέφωνται, καὶ τὸ ὕδωρ ἀπολύωσιν. Eadem fere leguntur apud Leonem Consti-

tut. XV. §. vlt. Item hæc §. 61. Ἐὰν δὲ ἀπὸ κινστέρνης ἔχωσι τὸ πόσιμον ὕδωρ, καὶ οὐκ ἀπὸ πηγῆς* ἀδιαλείπτου, μέτρῳ τινὶ καὶ διοικήσει γίνεσθαι τὴν διανομὴν, καὶ μὴ ἔχειν ἐπ' ἐξουσίας τὸν θέλοντα ὡς ἀρκέσει αὐτῷ δαπανᾶν. Suidas: Μωκισία, κινστέρνα.

ΚΛΕΙΣΟΥΡΑΙ.

Κλεισοῦραι. Clusuræ. Suidas: Οὕτω καλοῦνται τὰ ὀχυρώματα τῶν διαβάσεων τῇ πατρίῳ τῶν ῥωμαίων φωνῇ. Idem, Ἐμβολὴν, κλεισούραν. Constantinus Porphyrogenneta lib. περὶ θεμάτων: Τὸ δὲ θέμα τῆς μεσοποταμίας οὐ πολυχρόνιόν ἐστι, οὐδὲ μέγα τι ἦν καὶ περιβόητον, ἀλλὰ κλεισοῦρα τις ἀνώνυμος καὶ ἀνωνόμαστος. Nicet. Choniat. Κλεισοῦραι, δυσχωρίαι. Item ἀμφιλαφῆ χωρία, κλεισοῦραι καὶ λόφοι. vnde fortean Longini, de quibus Constantinus Themate I. Leo Constitut. IX. §. 26. Προκαταλαμβά-

νεῶσαι τὰς ὑπερβάσεις, καὶ τὰς τῶν στενῶν παρόδους, ἤγουν τὰς λεγομένας κλεισσούρας. Cedrenus 363. ὡδοστατήθη ὑπὸ τῶν Βουλγάρων ἐν τῷ στενῷ τῆς κλεισσούρας. Clusura in aqua, in vetustis Alaman. legib. SI QVIS ALIQVAM CLVSVRAM IN AQVA FECERIT, ET IPSA AQVA INFLAVERIT. &c. Item limites inscriptionibus quasi clusuris cludebantur. vnde apud Hygenum lib. de Limitib. constituen. anguli clusares, & latera clusaria. Conferenda hæc cum iis quæ scribserunt doctissimi viri Barnabas Brissonius lib. III. de verb. Sign. Iac. Cuiacius lib. III. Obseruat. cap. 24. Petr. Pithoeus I. Aduers. cap. 14. Bonau. Vulcanius Notis ad Constantinum Porphyrogennetam.

ΚΛΙΒΑΝΙΑ.

Κλιβάνια. Nicetæ codex Barbarogræcus interpretatur στολὰς ἐπιθωρακίους. Gloss. Isidori ms. Clibanari, quasi tunicæ ferri. Nicetas VI. Ἰδὼν δὲ καὶ τὸ ἐπάνω κλίβανον ὃ ὁ βασιλεὺς ἐπάνω τῶν δερμάτων αὐτοῦ ἐφόρει, &c. Leo Constitut. V. §. 5. Κλιβάνια σιδηρᾶ, ἢ καὶ ἐξ ἑτέρας ὕλης, &c. Idem Constitut. VI. Εἰ δυνατὸν δὲ καὶ θώρακας ἔχειν οἵ τινὲς καλοῦνται νῦν κλιβάνια, καὶ αὐτὰ στιλπνὰ καὶ λαμπρά. Idem §. 32. Ὅπλιζον δὲ τῶν μὲν κατάφρακτον καβαλλάριον πανταχόθεν αὐτόν τε καὶ ἵππον, καὶ τῶν μὲν ἄνδρα λωρικίοις καὶ κλιβανίοις, ἢ σιδηροῖς, ἢ ἐκ κεράτων ἐπιπλεγμένοις, (Lege, ἢ ἐκ κράτων πεπλεγμένοις) καὶ παραμηρίοις· τοὺς δὲ ἵππους κατάφρακτον παραπλευριδίοις, καὶ προμετωπιδίοις, ἤγουν τὰ πλευρὰ καὶ τὰς κεφαλάς, καὶ τοὺς τραχήλους τῶν ἵππων διὰ κλιβανίων, ἢ λωρικίων, ἢ ἄλλης ὕλης κατέσκεπον. Constantinus Tacticis: ἐξώ-

ἐξώπλιζον δὲ τὸν μὲν κατάφρακτον καβαλλάριον πάντοθεν αὐτῶν καὶ τὸ ἱππάριον αὐτοῦ. Τὸν δὲ καβαλλάριον ἐξώπλιζον λωρικίοις καὶ κλιβανίοις, ἢ σιδηροῖς ἢ ἀπὸ κεράτων πεπλεγμένοις. Curopalates: ὅτι Τζάκονες δὲ μετὰ καπασίων, φοροῦντας καὶ ἐπάνω κλίβανα ἢ ερράνεα λέοντας περὶ τὸ στῆθος ἔχοντα ἱσταμένους, λευκοὺς, ὁρῶντας ἀντικρὺ κατὰ πρόσωπον, ὡσαύτως καὶ ὄπισθεν. Item apud Nicetam Κλίβανοι μετὰ σύρματος. Item Clibanarij, de quibus B. Brissonius III. de verbor. signif.

ΚΟΜΕΆΤΟΝ.

Κομεάτον, ἀπόλυσις τοῦ στρατοῦ. Suidas: Κομιάτον, ἐξαίτησιν λαμβάνων τοῦ ἀφεθῆναι. Leo in legibus Militarib. Ἐάν τις τολμήσῃ βαγεῦσαι ὑπὲρ τὸν χρόνον τοῦ κομεάτου, ἤγουν τῆς ἀπολύσεως τῶν στρατιωτῶν, εἰς τοὺς ἰδίους οἴκους, εἰς διηνεκῆ * ταξίωνα κατακριθῆ. Idem: Εἴ τις ἐν καιρῷ πολέμου, δίχα κομεάτου, ἤγουν ἀπολύ-

σεως τοῦ τρατοῦ, σρατιώτην τολμήσῃ ἀπολῦσαι, &c. Mauricius: Ἐν καιρῷ εἰρήνης κατὰ τὸ διάστημα τῆς ἐπαρχίας τὰ κομεάτα τῷ σρατιώτῃ γενέσθω. Leo: ἐ.κ.ἐ.κ.ἰ.δ.ἰ.ἐ. ὁ τῆς ἀπολύσεως καιρὸς τῷ σρατιώτῃ διδόσθω. Vide Βαγεῦσαι. Comiatum, congé. Tertullianus lib. de Patientia, cap. VI. commeatum ſibi faciunt delinquendi. Kapitul. Karol. mag. lib. V. 17. Mulier ſi ſine comiato viri ſui velum in caput ſuum miſerit, &c.

ΚΟΜΗΣ.

Κόμης, Suidas: ὁ τοῦ λαοῦ ἄρχων. Conſtantinus lib. περὶ Θεμάτ. Κόμητας τοὺς νῦν σρατηγοὺς ἔλεγον. Mauricius Strategic. Κόμης δέ ἐστιν, ἤτοι τριβοῦνος, ὁ τοῦ τάγματος, ἢ ἀριθμοῦ ἢ βάνδου ἡγούμενος. Leo Conſtitut. III. §. 6. Οἱ κόμητες, ἤγουν οἱ τῶν λεγομένων βάνδων ἄρχοντες. Vide Δροῦγγος. Idem

Leo §.10. Κόμης δέ ἐστιν ὁ τοῦ ἑνὸς τάγματος ἤτοι βάνδου ἀφηγούμενος. Quędam è Leone catalecta & militarium officiorum designationes ediderunt eruditissimi viri Robortellus & Vulcanius: sed in iis turpe mendum est. Nam omissa hac Comitis definitione, Centarchi definitio sub titulo Comitis malè collocatur. Ea igitur restituta lege deinceps: Κένταρχος δέ ἐστιν ὁ ἑκατὸν ἀνδρῶν ἄρχων, ἤτοι ἑκατόνταρχος, ὅστις καὶ ὑπὸ τὸν κόμητα τέτακται. Idē Leo §.66. ἄρχοντα ἤτοι κόμητα γενναῖον, καὶ φρόνιμον καὶ ἀνδρεῖον, καὶ κατὰ χεῖρα μάχεσθαι δυνάμενον. Idem Naumachicis: §. 24. οὐχ ὡς ἔτυχεν ἁπάντων τῶν δρομώνων πορευομένων, ἀλλ' ἐπιστήσεις αὐτοῖς ἄρχοντα, ἢ κατὰ πέντε, ἢ κατὰ τρεῖς δρόμωνας ἕνα τὸν λεγόμενον κόμητα, ὅστις ναύαρχός τε καὶ ἡγεμὼν τῶν ὑπ' αὐτὸν δρομώνων ὑπάρχων. Comitum verò circa Imperatorē multiplex fuit dignitas; vt videre est apud Curopalatē.

ΚΟΝΤΟΣ.

Κόντος, Κοντάριον, ξυστὸν δοράτιον. Κονταροξίφαρα, βέλη. Κοντοφορεῖν, μετὰ κονταρίων μάχεσθαι. Nicetas. Leo: Δόρυ τὸ κοντάριον ἔλεγον. Mauricius lib. IIII. Strategic. cap.4. καὶ τῶν κόντοις ἀναβασταζόντων ἐπὶ τῶν ὤμοις, ὡς τὰ ξανθὰ ἔθνη, καὶ ὑποκρυπτόντων τοῖς σκουταρίοις. Hinc κοντάτον ἔθνος apud eundem VIII. cap.1. κοντάτον ἐστὶ τὸ ἔθνος, εἰς δυσχωρείας αὐτὸ προσκαλεῖσθαι. Hinc etiam apud Leonem Constit. XII. §.40. κοντάρατοι, contati: κἄντε τοξόται εἰσὶ, κἄντε κοντάρατοι. Iulius Aphricanus: μαχόμενοι δὲ, ὅτε μὲν διώκουσιν, ὀφείλουσιν εἶναι ἔμπροσθεν οἱ κοντάρατοι, ἔπειτα οἱ σπαθάτοι, &c. Eadem voce aliquoties vtitur Constantinus in Tacticis. Vide Σκουτάριον. Ξυλοκοντάρεια ἢ ἐγκράσματα τῶν ἀλόγων. Nicet. Choniat.

ΚΟΝΔΑ.

Κονδά. Corona pretioſa: Corto, κονδὸς μικρός. Mauricius Stategic. I. Εἴτε ζωσάρια γοτθικά, εἴτε ἀρμελαύσια ἔχουσι, κονδὰ μέχρι τῶν γονάτων δεῖ φορεῖν αὐτούς. Ibidem: καὶ τὰς κουρὰς δὲ αὐτῶν κονδὰς γίνεσθαι· καὶ μὴ ἀφιέναι αὐτοὺς τελείας τρίχας χρήσιμόν ἐστι. Leo Conſtitut. VI. §. 25. Τὰ δὲ ἱμάτια τῶν πεζῶν ἁπάντων ἔστωσαν κονδὰ μέχρι τῶν γονάτων αὐτῶν. Item apud Mauricium Titulus: Πῶς δεῖ ταῖς μακροτέραις καὶ κονδοτέραις τῶν ἐχθρῶν παρατάξεσιν ἁρμόζεσθαι, &c.

ΚΟΝΤΟΥΒΕΡΝΙΟΝ.

Κοντουβέρνιον, Vetus Gloſſarium: Συνοικέσιον, συσκήνιον, συσσίτιον στρατιωτῶν. Vetus Gloſſ. ms. in membranis: Contuuernium: ſcene ſtratioti & erotes. Contubernium, δεκαρχία, ἀκία, βάθος τῶν

ἀκιῶν. Mauricius Strategic. I. ἁμάξας εὐ-σταλεῖς κατὰ δεκαρχίαν ἤτοι κοντουβέρνιον. Idem: Χρὴ τέχνας κατὰ κοντουβέρνιον καὶ δρέπανα καὶ ἀξίνας ἔχειν αὐτούς. Idem: Δεῖ ἕκαστον ἄρχοντα τὸ ἴδιον τάγμα ὀρδινεῦσαι, ἤτοι διανεῖμαι, εἰς κοντουβέρνια. Idem: ὀρδιναλιῶνα ποιεῖσθαι ἐν τοῖς κοντουβερνίοις τουτέστιν ἐν ταῖς ἀκίαις. Idem lib. III. cap. 7. Τὰ κοντουβέρνια ἀπὸ παλαιῶν καὶ νέων γίνεσθαι ἀναλόγως· ἵνα μὴ οἱ παλαιοὶ καθ᾽ ἑαυτοὺς ταττόμενοι ἀσθενεῖς ὦσι, μηδὲ οἱ νεώτεροι ἄτακτοι εὑρεθῶσιν ὡς ἄπειροι. Et lib. VI. cap. 1. Τοσούτους δὲ τοὺς ἐπαρκοῦντας μετὰ κοντουβερνίων καὶ ποιότητα τῶν ταγμάτων, ἤτοι τὸ πλῆθος τῶν ἀλόγων. lib. VIII. Χρὴ τὰ κοντουβέρνια, ἤτοι τὰ βάθη τῶν ἀκιῶν, πρὸς τὴν ποιότητα τῶν ταγμάτων, καὶ τὴν προτεταγμένων καταγραφὴν γίνεσθαι, ἀπὸ παλαιῶν τε καὶ νέων. Leo Constitut. III. §. 2. Διαιρείσθω τοίνυν ὁ πᾶς ὑπὸ σὲ στρατηγὸς εἰς τάγματα ἤγουν τὰ λεγόμενα βάνδα διάφορα. καὶ ἔτι ὑποδιαιρείσθω εἰς δεκαρχίας καὶ κατασκηνωσάτωσαν εἰς τὰ λε-

γόμενα κοντουβέρνια. Ταῦτα δὲ γινέσθωσαν καὶ ἀπὸ πέντε πολλάκις, καὶ ἀπὸ δέκα ἀνδρῶν, ἤγουν κατὰ δεκαρχίαν, ἢ ἓν κοντουβέρνιον ἢ δύο. Ibidem §. 38. Τάξεις δὲ καὶ τὰ κοντουβέρνια εἰ κατὰ πέντε, ὡς εἴρηται, ἢ δέκα ἄνδρας, ἢ κατὰ τέσσαρας, ἢ ὀκτώ, ἢ δέκα ἕξ, ὡς ἂν γινώσκεις τὸ κατὰ καιρὸν χρήσιμον. ἵνα τῇ συνηθείᾳ δεσμούμενοι ὑπὲρ ἀλλήλων ἐν ταῖς μάχαις ἀγωνιζόμενοι, χρησιμώτεροι πρὸς ἀνδρείαν γένωνται. Hinc contubernarij & contubernales. Vid. Fest.

ΚΟΡΤΗ.

Κόρτη, Cortis siue Curtis. Court du Prince. vnde & Cortinarij. Curopalates: Ὑπηρετῶσι δὲ οἱ κορτινάριοι εἰς τὴν τοῦ βασιλέως σκηνήν, ἥτις κόρτη ὀνομάζεται. Leo Constitut. III. §. 30. Ἔστι δὲ καὶ ἡ τοῦ στρατοῦ προέλευσις εἰς τινας ἄρχοντας διαιρουμένη, οἷον τουτέστι κόμητα τῆς κόρτης αὐτοῦ, καὶ τὸν τοῦ θέματος δομέστικον. Idem Constitut. XI. §. 20.

Ἕκαστος δὲ τουρμάρχης ἴδιον μανδάτορα ἀφορίσει, ὥστε εἶναι εἰς τὴν κόρτην τοῦ στρατηγοῦ προσεδρεύοντα. Anonymus περὶ καταστάσ. ἀπλ. Τῆς βασιλικῆς σκηνῆς κατὰ μέσον πηγνυμένης, γυρόθεν τῆς κόρτης, κενὸς ἀφοριζέσθω χῶρος, ἱκανὸς χωρεῖν καὶ τοὺς ἐν νυκτὶ παραμένοντας, καὶ τοὺς ἐν ἡμέρᾳ συνερχομένους εἰς τὴν κόρτην. Idem: Πρὸς δὲ τὸ ἀνατολικὸν μέρος ἔμπροσθεν τῆς κόρτης σκηνὴ πηγνύσθω τὸ Ἀρχονταρεῖον, Cedrenus p.388. de Constantino: Τῷ β ἔτει ἐπιστρατεύει κατὰ Βουλγάρων, καὶ συναντήσας Καρδάμῃ τῷ κυρίῳ Βουλγάρων, πλῆθος λαοῦ καὶ ἀρχόντων ἀποβαλὼν καὶ τὴν κόρτην, καὶ πᾶσαν τὴν ὑπουργίαν, καὶ τοὺς ἵππους, μόλις αὐτὸς διαφυγὼν εἰσῆλθεν ἐν τῇ πόλει. Postrema hæc verba Historia miscella Pauli Aquilegiensis lib. XXIII. sic interpretatur: Abstulerunt etiam Bulgares sarcinam, pecuniam, equos & aulæa vnà cum vniuerso regio apparatu, &c. Eadem historia lib. XXIV. quod Græcè

dixerat

dixerat Cedrenus, & τὴν λεγομένην αὐλὴν τοῦ Κρούμου ἐνέπρησεν, latinè reddidit: & aulam incendit quæ dicebatur Cortis Crumi. Item Titulus est in legibus Alamann. De eo qui in curte Regis furtum commiserit. Et, De eo qui in curte Ducis hominem occiderit. Igitur Cortinarij, Cortelini, & Coortales, Courtisans, valets de Court. ea enim appellatio τὴν ὕβριν φέρει. Vide Constant. Porphyrogen. Θεμ. Ὀψικ. & patet etiam ex Curopalate.

ΚΟΥΚΟΥΡΟΝ.

Κούκουρον, Γωρυτός, Nicet. Choniat. θήκη τόξων. Aliàs sagittarum theca. carquois. Mauricius lib. II. Strategic. cap. 2. Κούκουρα μετὰ σαγίτων & σκεπασμάτων ἐπιτήδεια, χωροῦντα ἀπὸ τριάκοντα ἢ τεσσαράκοντα σαγίτων. Idem: τοξοφάρετρα ἐπὶ τῶν ὤμων

ἀναβασταζόμενα, ἔχοντα κούκουρα μεγάλα, χωροῦντα ἀπὸ πενήκοντα ἢ τεσσαράκοντα σαγιττῶν, σκουτάρια μικρὰ, σωληνάρια ξύλινα μετὰ μικρῶν σαγιττῶν, καὶ κούκουρον μικρόν, &c. Leo Cõstitut. V. §. 3. Τοξάρια μετὰ θηκαρίων αὐτῶν, σαγίττας μετὰ κουκούρων. Idem Constitut. VI. §. 2. Κούκουρα μετὰ σαγιττῶν καὶ σκεπασμάτων αὐτῶν * ἐπιτήδεια, &c. vt in Mauricio s. Κούκουρος, scorteum, bulga, θύλακος, βουλγίδιον, marsupium. Cedrenus 363. Ὁ δὲ Μωάμεθ τῷ στρατηγῷ τῶν Σκλαβίνων κούκουρον γέμοντα νομισμάτων πέμψας. Hist. miscel. XIX. Suggerens interea Muhamat auxilianti Romanis Sclauinorum Duci, mittit ei marsupium numismatibus plenum.

ΚΟΥΜΒΑΡΙΑ.

Κουμβάρεια. Vetus Gloss. in membranis: Cũba, scafos, ploiarion. Glossæ

N

Isidori ms. Cumba, nauis non grandis. Fest. Auienus, Orâ maritimâ;

— cumbis turbidum latè fretum
Et beluosi gurgitem Oceani secant.

Leo Constitut. XIIX. §. 141. Δοκεῖ δὲ τοῖς Κίλιξι Σαρακηνοῖς, ὅσον ἔχουσι πεζικὸν, πρὸς ἀμφοτέρας ἐπιτηδεύειν τὰς μάχας. πρός τε τὴν κατὰ γῆν, διὰ τῆς ἐξόδου τῆς διὰ τοῦ Ταύρου ὄρους· καὶ τὴν κατὰ θάλατταν, διὰ τῶν παρ' αὐτοῖς πλοίων τῶν λεγομένων κουμβαρίων. Idem in Naumachicis. Κουμβαρίοις χρῶνται μείζοσι καὶ ἀργοτέροις. Zonaras in Basilio Macedone: Καὶ ὁ τῆς Ταρσοῦ δὲ Ἀμηρᾶς Ἐσμαὴλ μετὰ πλοίων μεγάλων, ἃ Κουμπάρια τοῖς ἐκ τῆς Ἄγαρ ὠνόμασται, &c.

ΚΟΥΡΣΗ.

Κούρσον. Λεία. Κοῦρσον ποιῆσαι, ἐκδρομαῖς χρῆσθαι. Κουρσεύειν, πορθεῖν, αἰχμαλωτίζειν, ληΐζεσθαι. Κουρσευόμενα, κακοδαιμονοῦντα.

Nicet. Iulius Aphricanus. Παρεκβολ. τῶν στρατηγ. παρατ. Λακεδαιμόνιοι τὴν χώραν τῶν Ἀθηναίων ἐκούρσευον. Περικλῆς δὲ ὁ στρατηγὸς τῶν Ἀθηναίων ἔπεμψε πλοῖα πολεμικὰ κουρσεῦσαι τὰ παραθαλάσσια. Mauricius lib. II. Strategic. cap. 2. ἐν καιρῷ τοῦ πολέμου καὶ ἐν καιρῷ κούρσων. Idem lib. VI. cap. 2. ἐν μὲν τοῖς κουρσῶσιν, ἢ σκούλκαις, ἀναγκαῖον ἔχειν τὰ ἄδεστρατα τοὺς στρατιώτας. Κοῦρσα, superuentus, subitariæ incursiones: Idem Mauricius lib. IIX. cap. 1. Τὸν δὲ στρατηγὸν κοῦρσα, ἢ περιπατεῖς ἐγχειρήσεις, δι' ἑαυτοῦ ποιεῖσθαι οὐκ ἐπιτρέπομεν. Leo Constitut. X. §. 8. Καὶ ἐν μὲν τοῖς κούρσοις, ἢ ταῖς ἄλλαις ἐφόδοις, ἔχειν αὐτὰ τοὺς στρατιώτας, &c. Vide Βέρεδον. Hinc etiam Μονόκουρσα apud Nicephorum. Item Κουρσάριοι, coursaires. Glossæ ms. Πειραταί, παραπονтισταί, κουρσάριοι. Item Πρόκουρσα, περιπολεῖα, quæ de militum præda Imperator primus delibare solet. Isaacius Tzetzes ad illa verba Lycophro-

ij M

nis: Πολλοὺς δ᾽ ἀριστεῦς πρόπολλα θ᾽ Ἑλλάδος. εὐγενεῖς Ἕλληνας, inquit, τοὺς λαμβάνοντας προτέλεια, ἤτοι τὰ πρόπιστα τῆς λείας, καὶ πρὸς τὴν αἰχμαλωσίαν, καὶ προέχοντα ἐν τῆς Ἑλλάδος φέροντας ἐν τῷ ἑαυτῶν δορί. paulo post: Προτέλεια δέ εἰσι, τὰ τῆς λείας καὶ τῶν λαφύρων τοῦ πολέμου πρόπιστα καὶ ἐξαίρετα, ἃ περ εἰώθασιν οἱ ἄριστοι λαμβάνειν, ὡς Ἀγαμέμνων τὴν Χρυσηΐδα Ἀστυνόμην, Ἀχιλλεὺς δὲ τὴν Βρισηΐδα Ἱπποδάμειαν, Αἴας δὲ τὴν Τέκμησσαν. Fortaſſe autem Προκούρσοις opponebantur Φυλλια, de quibus in Curopalate: ἀπὸ δὲ τῶν κουρσευομένων πάντα τὰ ποικίλα, ἃ ὀνομάζονται φύλλια, ἔθος ἐστὶ λαμβάνειν τὸν πρωτοστράτορα. viderit Franciſcus Iunius. Malè interim, ἀπὸ τῶν κουρσευομένων, vertit: à curſoribus. Κουρσευόμενα enim κακοδαιμονοῦντα, vt iam docui ex Niceta. ΚΟΥΡΣΩΡΕΣ. Mauric. Strat. οἱ προτρέχοντες τῆς παρατάξεως, καὶ τοῖς φεύγουσιν ἐχθροῖς ὀξέως ἐπιτιθέμενοι. Idem: Κουρ-

σωρες & σύνεδροι. Leo Constitut. III. §.20. Κούρσωρες δὲ λέγονται, ἤγουν πρόμαχοι, οἱ προτρέχοντες τῆς παρατάξεως ἐν τῇ συμβολῇ τοῦ πολέμου, καὶ τοῖς φεύγουσιν ἐχθροῖς ὀξέως ἐπιτιθέμενοι, οὓς καλοῦσι Προκλάστας. Vide Διφένσωρες, & Προκλάσται. Item Cursores, serui, laquais. in l. Seruis vrbanis. De legatis III. Glossæ veteres: Κούρσωρ, Excercipes, ταχυδρόμος, δρομεύς, & Κούρσωρ. Suidas: Κουρσῶρες, οἱ διατρέχοντες, κοῦρε γὰρ, τὸ τρέχε. Corippus. III.

— iamque ordine certo
Turba decanorum, cursorum, in rebus agentum:
Cumque palatinis stans candida turba tribunis.

ΚΟΡΥΦΑΔΗΝ.

Κορυφάδην, apice fastigiato. vel forte, κορυφάδιν pro, κορυφάδιον. vt in iisdem mss. σελοπούλιν, τυφλὶν pro, σελοπούλιον,

τουφίον. & alia huiusmodi passim. Mauricius lib. II. Strategic. cap. 2. Τουφία εἰς τὰς ὀπισθελίνας τέσσαρα, κορυφάδιν καὶ ὑπογένειον τουφίν. Leo Constitut. VI. §. 10. καὶ τουφία εἰς τὰς ὀπισθελίνας τέσσαρας, καὶ κορυφάδιν τοῦ ἵππου τουφὶν, καὶ ὑπογόνειον ὁμοίως. in codice Mediceo: καὶ τουφία εἰς τὰς ὀπισθελίνας δ΄. καὶ εἰς τὸ κορυφάδιον τοῦ ἵππου τουφίον, καὶ εἰς τὸ ὑπογένειον ὁμοίως. Hinc & emendandus Mauricius videtur.

ΚΟΧΛΑΚΕΣ.

Κόχλακες. Leo Naumachicis: §. 13. Καὶ λίθοις δὲ χειροπληθεῖς πλείστους ἐχέτωσαν, ἤτοι κόχλακας, οὓς τοῖς δρομωνίοις, ὥσπερ κατὰ τῶν πολεμίων βάλλοντες, οὐδὲν ἧττα τῶν ἄλλων ὅπλων αἰδοῦνται· ὅπλα γάρ εἰσιν καὶ λίθοι οἱ πολλάκις ἐστὶ καὶ ἀναγκαιότατοι. Nec recte intellexit hunc locum Io. Checus.

ΚΡΑΒΑΤΟΣ.

Κράβατος, Grabatus. Leo Naumachicis, §.8. Καὶ ὁ τοῦ ναυάρχου δὲ ἤτοι τοῦ κενταρχου κράβατος ἐπὶ τῆς πρύμνης ***** ὁμοίως δὲ καὶ φυλάττων ἐν καιρῷ συμβολῆς ἀπὸ τῶν ῥιπτομένων βελῶν ἀπὸ τῶν ἐναντίων. Basilius Naumachicis de partibus nauis: Ἔνθα δὴ καὶ σκηνὴ πήγνυται τῷ στρατηγῷ ἢ τειχεάρχῳ, ἤγουν κράβατος. ἐν οἷς δὲ ὁ κράβατος ὑπερείδεται, προχαυτῆρες καὶ ἄφλαστα οἱ λεγόμενοι Βόρδωνες. Nicetas Choniates: Κραβάτιον, κλιντὴρ, εὐνή. Κρεβάτια, κλίναι.

ΚΡΙΚΕΛΛΙΑ.

Κρικέλλια, anelli, orbiculi, circuli. Liber Notarum ms. Ω. circellum. Suidas: Κρίκος, τὸ κρικέλλιον. Mauricius II. Strategic. cap. 2. Ζάβας σὺν σκαπλίοις τελείας μέχρι τοῦ ἀστραγάλου ἀνασυρομένας λωρίοις καὶ κρικελλίοις. Leo Constitut. VI. §. 2.

VI.§.2. Ἔχειν δὲ αὐτῶν δεῖ τῶν καθ' ἕνα ἄνδρα ὅπλησιν τοιαύτην· ζάβας τελείας μέχρι τοῦ ἀστραγάλου· δυασυρομένας δὲ διὰ λωρίων καὶ κρικελλίων. Idem habet etiam Constitut. V. §. 5.

ΚΡΟΣΣΙΑ.

Κροσσία, Fimbriæ. Mauricius, lib. II. Strategic.cap.2. Περιτραχήλια στρογγύλα κατὰ τὸ τῶν Ἀβάρων σχῆμα ἐν τάξει * κροσίων λινοῦ ἔξωθεν, καὶ ἔσωθεν * ἐραιοῦ. Forte, ἐρίου. Etenim apud Leonem Constitut. V.§. 5. lego: Περιτραχήλια ἀλυσιδωτὰ σιδηρᾶ ἐνδεδυμένα ἔσωθεν ἀπὸ ἐρίου, καὶ ἔξωθεν λινοῦ. Lexicon Cyrilli ms. Κράσπεδον, τὸ ἄκρον τοῦ ἱματίου· ἔνιοι δὲ τὰ κροσσία τοῦ χιτῶνος. Hodie vulgari idiotiſmo, κλώσια, in mundo muliebri ſunt lemniſci de peplo pendentes.

ΚΟΥΜΠΑΝΙΑ.

Κουμπανία, compagnie. Vide Φερατεία.

O



λ.

ΛΑΚΙΔΙΑ.



Ακίδια. Vide Βηρύτλαι.

ΛΕΓΕΩ͂ΝΕΣ.

Λεγεῶνες. Legiones. Mauricius Strategic. Οἱ ἀρχαῖοι ὅταν αἱ πολύανδροι λεγεῶνες συνίσαντο, τὰ τάγματα τῶν σκουτάτων ἀπὸ ἀκιῶν ιϛʹ ἐποίουν ἀνδρῶν, * διακοσίους πεντήκοντα ἕξ. Eclog. Basilic. LVII. tit. II. ὁσάκις ἐν ταῖς ὄχθαις λεγεῶνες εἰσί. &c.

ΛΩΡΊΑ.

Λωρία, ἱμάντες. Mauricius lib. II. Strategic. cap. 2. Ζάβας σὺν σκαπλίοις τελείας μέχρι τοῦ ἀστραγάλου ἀνασυρομένας λωρίοις. Ibidem: κοντάρια καβαλλαρικὰ ἔχοντα λω-

ϛεία κατὰ τὸ μέσον. Sic & apud Leonem sæpe. Vide Σκουτάρια. ex Cedreno.

ΛΩΡΙ'ΚΙΟΝ.

ΛΩρίκιον, Ζάβα. Lorica. Leo Constitut. V. §. 5. Λωρίκια μέχρι ἀστραγάλου ἀνασυρόμενα διὰ λωρίων καὶ κρικελλίων. perperā Checus: galeæ ad iugulum vsque demissæ. Idem Leo Constitut. VI. §. 36. Τοὺς δὲ ψιλοὺς πάντων ἐλαφροτάτῃ ὥπλιζον τῇ παρασκευῇ· οὔτε γὰρ θώρακας, ἤγουν κλιβάνια, ἢ λωρίκια, &c. Idem: Τοὺς δὲ ἐπιλέκτους τῆς ἀξίας ἔχειν καὶ ζάβας, ἤτοι λωρίκια. Idem in codice Regio: Καὶ γὰρ σκουτάρια ἐποίουν αὐτοῖς στρογγύλα, μεγάλα, παραμήκη, ἃ ἔλεγον θυρεοὺς, καὶ μαχαίρας, ἤγουν παραμήρια, καὶ θώρακας, καὶ κράνη, ἤγουν λωρίκια, καὶ κλιβάνια, &c. Sed hic locus mihi suspectus. Nam in codice Mediceo, legitur: Καὶ γ. σ. ἐ. α. σ. μ. π. ἃ. ἔ. θ. καὶ μ. ἢ παραμήρια καὶ κλιβά-

νια, καὶ κασσίδας, &c. Idem paulo post: Στολὰς δὲ εἶχον * ἰσχυρὰς ἤγουν πηκτὰς, ἀντὶ λωρικίων καὶ κλιβανίων καὶ τῶν ἄλλων. Suidas: Μανδύας, εἶδος ἱματίου, ὅπερ καλεῖται λωρίκιων.

ΛΙΒΡΙΑ.

Λιβρία. Τουφία. Liurées. Constantin. Tactic. κασσίδας ἐχούσας ἄνω εἰς τὰς κορυφὰς τουφία μικρὰ, ἤγουν λιβρία. Vide, τουφία.

ΛΩΡΌΣΟΚΚΟΝ.

Λωρόσοκκον. Mauricius lib. I. Strateg. Ἔχειν δὲ καὶ εἰς τὰς σέλας σκάλας σιδηρᾶς δύο· λωρόσοκκον, πέδικλον, σελοπούγγιν. Leo Constitut. V. §. 5. Λωρόσοκα, πέδικλα, σελιναία σιδηρᾶ.



μ.

ΜΑΓΓΑΝΑ.



Μάγγανα. Satis alij notum fecere hoc vocabulum. Suidas : Μάγγανον, παράδοξόν τι. Scilicet, quidquid repellendis fallendísque hostibus sollers militum cura comminiscitur. Multa verò bellica μάγγανα simul recenset Mauricius lib. XI. Strategic. cap. 3. Μάγγανα ἀμυντικὰ πρὸς ἀποτροπὴν τῶν πετροβόλων· ἀντίκεινται ταῖς τοιαύταις βολαῖς κιλίκια κρεμάμενα ἔξωθεν τοῦ τείχους κατὰ τοὺς προμαχῶνας, σάρκινα χοινία εἰλημμένα· πένπλα κρεμάμενα· καὶ πλίνθος δὲ ἐν τοῖς προμαχῶσιν οἰκοδομουμένη· καὶ πρὸς τοὺς κριοὺς ἀντίκεινται τύλαι καὶ σακκία γέμοντα * ἄχυρα καὶ

ψάμμου. πρὸς δὲ τοὺς παλλίονας, ἤτοι ἐμβό-
λους τοὺς προσαγομένους, ἅρπαγες, πίσσα, καὶ
πῦρ, καὶ λίθοι βαρεῖς κατάκενται ἀπὸ μαγγάνων
ἄφνω χαλώμενοι, διὰ σχοινίων, ἤτοι ἁλύσεων,
καὶ πάλιν ἀνασπώμενοι δι' ἑτέρων ἀντιβαρυμά-
των. πρὸς δὲ τοὺς ἐπαγομένους πύργους πυροβό-
λα εἴδη καὶ πετροβόλα. Hic Mauricij locus explicatior simul & emendatior est apud Leonem Constitut. XV. §. 48. ὁ
μέλλων πολιορκεῖσθαι εὐτρεπίσει μηχανήματα
ἀντικείμενα πρὸς ἀποκώλυσιν τῶν πετροβόλων
μαγγάνων τῶν ἐχθρῶν. ἀντίκεινται δὲ ταῖς τοιαύ-
ταις βολαῖς κιλίκια κρεμάμενα ἔξωθεν τοῦ τεί-
χους κατὰ τοὺς προμαχῶνας, ἢ σάρκινα, ἢ σχοινία
* εἰλιγμένα, ἢ πόντιλα, ἤτοι ξύλα κρεμάμενα, καὶ
πλίνθος δὲ ἐν τοῖς προμαχῶσιν οἰκοδομουμένη.
καὶ πρὸς τοὺς κριοὺς δὲ ἀντίκεινται τυλάρια καὶ
σακκία γέμοντα * ἀχύρου καὶ ψάμμου. πρὸς δὲ
τὰς * χελώνας, ἅρπαγες ἤτοι ξύλα μεγάλα
ἔχοντα ξίφη, καὶ * ἐμπασσόμενα, ὥστε ἢ ἐκτρέψαι
αὐτὴν, ἢ ἀνακουφίσαι καὶ γυμνῶσαι τοὺς ἔσωθεν

τ̃ χελώνης, καὶ οὕτω κατ' αὐτῶν ἐγχειρεῖν ἄνωθεν. ἀλλὰ καὶ πίσσα δι' ἧς * κενουμένης ἐμπρησθήσονται· ὃ πῦρ καὶ λίθοι βαρεῖς κατακενοῦσθαι ἀπὸ μαγγάνων ἄφνω χαλώμενοι διὰ χοινίων ἤτοι ἁλύσεων, καὶ πάλιν ἀνασπώμενοι δι' ἑτέρων ἀντιβαρυμάτων, &c. Porro à manganis Μαγγανάριοι dicti. Leo Constitut. XV. §.36. δι' ἐπινοίας τῶν συνιόντων σοὶ μαγγαναρίων καὶ ἐπιτηδείων ἀνδρῶν πρὸς τὰς τοιαύτας κατασκευάς.

MANΔÁTA.

Μανδάτα. mandata, ἐντολαί, παραγγέλματα. Indéque inscripta Nouella Iustiniani XVII. MANDATA PRINCIPIS. notante Iuliano Antecess. C.P. Constitut. XXI. Sic apud Mauricium in legibus militaribus, μανδάτα λέγειν· μανδάτα δοθῆναι. Et Phædrum lib. I. Fab. dant mandata ad Iouem. & lib. IV. mandant. sed alio sensu.

Apud Mauricium Titulus eſt, Περὶ μανδάτων καθολικῶν, generales quaſdam continens admonitiones. Item lib. IX. Strateg. reperias, σχηματικὰ μανδάτα, mādata ordinandæ tribuendæque aciei. Οὐκ ἄτοπον δὲ καὶ ἄλλα τινὰ σχηματικὰ μανδάτα παραγγέλλειν τοῖς στρατιώταις, ὅταν μάλιστα εὐκαιρῶσιν, ἵνα καὶ δοκιμασθῶσι καὶ ἐθισθῶσι ταῦτα φυλάττειν. Item apud Anonymum: τὸ πρὸς τὸν στρατηγὸν ἀποστελλόμενον μανδάτον.

ΜΑΝΔΑ΄ΤΩΡ.

Μανδάτωρ, mandator. Suid. εἶδος ἀξιώματος. Lexicon Cyrilli ms. Ἡμεροδρόμοι, οἱ ταῖς βασιλικαῖς διατάξεσι ταχύτατα διακονούμενοι μανδάτωρες. Idem: Κεντυρίωνες, μανδάτωρες. Leo Conſtitut. III. §. 16. Μανδάτωρες δέ εἰσιν οἱ τὰ μανδάτα ἀπὸ τῶν ἀρχόντων πρὸς τοὺς στρατιώτας ὀξέως διακομίζοντες. Mauricius: Χρὴ δύο μανδά-

τωρας

τωρας ἀγρύπνους καὶ φρονίμους ἐπιλέγεσθαι. Idem: μανδάτωρας ἀγρύπνους, συνετοὺς, γοργοὺς, καὶ εὐφώνους, εἰδότας ῥωμαϊστὶ καὶ περσιστὶ, ἐὰν ἀπαιτῇ καὶ ἑλληνιστί. Leo: εἰδότας εἰ δυνατὸν διαφόροις γλώσσαις λαλεῖν.

MANIKIA.

MAνίκια. Χειρίδες. Manuel Moschopulus: Χειριδωτὸς χιτὼν, ὁ χειρίδας ἔχων, τὰ λεγόμενα κοινῶς μανίκια. Mauricius lib. II. Strategic. cap. 2. Χρὴ καλιγία, ἤγουν ζάβαιν, ἀπὸ κενδούκλων πλατέα πάνυ, ἔχοντα μανίκια φαρδέα ἐπικεῖσθαι αὐτοῖς. Curopalates, 127 κρεμάμενα τὰ μανίκια δύνουσι μέχρι τῶν ἀστραγάλων. Hinc etiam ΧΕΙΡΟΜΑΝΙΚΑ & ΜΑΝΙΚΕΛΛΙΑ. Leo Constitut. VI. §. 25. Ἔχειν δὲ καὶ χειρομάνικα τὰ λεγόμενα μανικέλλια.

ΜΑΤΡΙΚΙΟΝ.

ΜΑτρίκιον, Matricula. Vetus Gloss. Matra & Matrex, μήτρα, σημείων καὶ ὀνομάτων. Vide τρωπεζίτης.

ΜΆΖΑ.

ΜΆζα, δρουγγιστὶ, ὁμοῦ, simul. Nos dicimus: amas. Leo Constitut. VII. §. 50. Εἴθ᾽ οὕτως ἢ συνάντες αὐτοῖς δρουγγιστὶ, ἤγουν ὡς μάζα, ὁμοῦ, λανθανόντως. &c. In codice Mediceo tantum legitur: Δρουγγιστὶ, ἤγουν ὁμοῦ, λανθ. Idem Leo Constitut. XIV. §. 58. Ἁρμόδιόν ἐστιν ἵνα μᾶλλον δρουγγιστὶ πέσωνται, ἤγουν ὁμοῦ, ὡς μάζα, αὐτῶν ὀρδίνων· οὐχὶ δὲ ἐπὶ μακρᾶς παρατάξεως, τουτέστι κατ᾽ ὀρδίνων ἀκίας, &c. Hinc Μάζαι ξιφοειδεῖς apud eundem in Naumachicis: Ἀκοντίσωσιν ἢ λίθους μυλικοὺς, ἢ σίδηρα βαρεῖα, ἤγουν μάζας ξιφοειδεῖς, δι᾽ ὧν τὴν ναῦν διατρίψουσιν.

MATZOYKIA.

MAτζούκια, massues. Leo Constitut. VI. §.25. Ἐχέτω δὲ ἑκάστη ἅμαξα χρομύλον, ἀξίνην, πέλεκυν, σκέπαρνον, πρίονα, ὀρύγας β΄. σφύραν, πτυάρια β΄. κόφινον, κιλίκια, φαλκίδια, τζηκούρια, ματζούκια. Codex Regius habet, βαρδούκια, non ματζούκια. Mauricius, pro, τζηκούρια, ματζούκια, habet, μαρτζοβάρβουλον. Leo Constitut. VII. §.59. ἢ τὰ ῥιπτάρια, ἢ τζηκούρια, ἢ βαρδούκια (in codice Mediceo, ματζούκια) ἔχοντες. Inter leuem armaturam isti censentur. Idem Leo §.75. Οἱ μὲν ἔχουσι ματζούκια ἢ ῥιπτάρια, εἰς τὸ χαμαὶ ῥίπτουσιν αὐτά. Item apud Curopalatem, ματζοῦκα, quod nos hodie vocamus, Masse. φέρει δὲ, inquit, αὐτὴ δικανικίου, ἣν ἰδιωτικῶς καλοῦσι ματζοῦκα, ἀργυρέαν χρυσωμένην.

Ab eadem forma esse videtur quod in Phauorini Glossis legitur: Μαζάκης δό-ρυ παρθικόν.

ΜΑΓΓΛΑΒΙ΄ΤΑΙ.

Μαγγλαβῖται. Anonymus. Περὶ κατας. ἀπλ. Πρὸς δὲ τὸ ἀνατολικὸν μέρος ἔμπροσθεν τῆς κόρτης σκηνὴ πηγνύσθω τὸ ἀρχονταρεῖον· ἔμπροσθεν δὲ καὶ ταύτης οἱ τοῦ σαύλου ἄρχοντες, σὺν τοῖς ἵπποις ἱστάσθωσαν· οἱ δὲ μαγγλαβῖται κατὰ τὸ εὐώνυμον μέρος ἔμπροσθεν τοῦ τοῦ ἀβεστιαρίου σκηνῆς· κατὰ δὲ τὸ δεξιὸν ἀνατολικώτερον τοῦ τῆς τραπέζης οἱ πανθεῶται· ὁ δὲ πρόξιμος καὶ ὁ κόμης τῶν βυκίνων σὺν τοῖς μαγγλαβίταις σκηνέτωσαν. &c. ΜΑΓΓΛΑ-ΒΙΑ, ἀλλακτὰ, Nicetæ. Nouel. Leonis XCVI. Balsamon. ad c. XXC. Sex. Synod. in Trullo.

ΜΑΡΤΙΟΣ.

Μάρτιος. Martius campus. Mauric. lib. VII. Strategic. cap. 2. Τὸ μὲν δέξιον κέρας ἐξώτερον· τὸ δὲ ἀριστερὸν ἐσώτερον, παρεχόμενον κυκλοειδῶς τὴν ἐνδυπίαν ἀλλήλων ἐλαύνησιν· ὃν τρόπον ἐν τῷ μαρτίῳ ποτὲ οἱ καβαλλάριοι ἔπαιζον ἐν τοῖς παραχειμαδίοις.

ΜΑΥΡΙΣΚΙΟΝ.

Μαυρίσκιον. Leuis armaturæ milites in locis aſperis & anguſtis vtebantur σκουταρίοις μικροτέροις, καὶ ἐλαφροτέροις, τοξοφαρέτραις, βηρύτλαις, ἀκοντίοις μικροῖς, μαυρισκίοις, καὶ ὀλίγοις μαρτζοβαρβούλοις. Mauricius lib. II. Strategic. cap. 20. Horatius Od. 22. lib. I. Carm. Non eget Mauri iaculis.

ΜΑΡΤΖΟΒΑΡΒΟΥΛΟΝ.

Μαρτζοβάρβουλον, quid teli fuerit, alij iam docuerunt. Addesis hæc è Mauricio: ῥίψαι μήκοθεν βηρύτταν ἢ μαρτζοβάρβουλον. Item: μαρτζοβάρβουλα ἀναβασταζόμενα εἰς θηκάρια δερματινά. Item: βηρύττας ἢ μαρτζοβάρβουλα ἔχοντες. Vide Σαλίβα. Et passim in Leone occurrit.

ΜΕΡΑΡΧΑΙ.

Μεράρχαι. Leo Constitut. III. §. 43. μεράρχαι οἱ λεγόμενοι ποτὲ καὶ στρατηλάται, νῦν δὲ τῇ συνηθείᾳ καλούμενοι τουρμάρχαι. Apud Mauricium vbique legitur, Μενάρχης. lib. II. Strategic. cap. 3. Ὁ δὲ μενάρχης ἐστὶν ὁ τοῦ μέρους τὴν ἀρχὴν ἐμπεπιστευμένος. & alibi sæpiculè.

ΜΕ'ΝΑΥΛΟΝ.

Μέναυλον. In fragmentis quæ ad Æliani Tacticorum calcem à Robortello & Gesnero adiecta sunt, legitur: Ὅτι μέναυλον εἶδος ἐστὶν ἀκοντίου. Leo Constitut. VI. §. 32. Οἱ μὲν εἶχον κοντάρια, ἤγουν τὰ λεγόμενα νῦν μέναυλα, ἅπερ οἱ ἀρχαῖοι λόγχας ἐκάλουν. Idem Constitut. IX. §. 78. Οἱ ἐκ χειρὸς ἀκοντίζοντες διὰ ῥιπταρίων ἢ μεναύλων.

ΜΗΛΑ.

Μῆλα. Leo Constitut. VI. §. 25. in cod. Reg. Ἐπιλέκτους τῆς ἀκίας ἔχειν καὶ ζάβας ἤτοι λωρίκια, εἰ μὲν δυνατὸν ὅλους· ἐπεὶ κἂν δύο τοὺς προέχοντας τῶν ἀκιῶν· * κατὰ δὲ τῶν μήλων, ἤτοι τῶν ὤμων τῆς ζάβας φλαμουλίσκια μικρά. Mauricius lib. II. Strategic. Κοντάρια ἔχοντα τουφία μικρὰ καὶ φλάμουλα κατὰ τῶν μήλων. Hodie vulgari lingua

dicunt, Μῆλο τοῦ σπαθίου, pomum manubrij ensis. vt Βοῦλαν, vaginæ infimum munimentum.

ΜΊΝΣΩΡΕΣ.

Μίνσωρες, Mauricio lib. II. Strategic. cap. 4. Οἱ τὰ ἄπληκτα ἤτοι φοσσᾶτα μεζουροῦντες καὶ καθιστῶντες. Idem lib. III. cap. 12. Πρὸς τούτοις δεῖ καὶ τοὺς μίνσορας τοσούτους εἶναι τοὺς ὀφείλοντας μετὰ τῶν ἀντικενσόρων προλαμβάνειν καὶ τὰ ἄπληκτα μεζεῖν, &c. Vide Αντικένσωρες. Item ΜΙΝΣΟΥΡΆΤΩΡΕΣ. Leo Constitut. III. §. 22. Μίνσωρες δὲ λέγονται οἱ τὰ ἄπληκτα ἤτοι φοσσᾶτα μεζουροῦντες καὶ καθιστῶντες, οὓς μινσουράτορας καλοῦσιν. Anonymus. Περὶ καταστ. ἀπλ. Δεῖ δὲ τὸν μινσουράτορα ἐπιλέξασθαι ἄριστον καὶ ἐμπειρότατον· καὶ σχοινίον μέτρον χιλίων ὀργυιῶν ἐπιδοῦναι αὐτῷ, ἀποστέλλειν τε εἰς ἔρευναν ἐπιτηδείου τόπου πρὸς ἄπληκτον. Idem: Οἱ δὲ προτρέχοντες τοῦ

λαοῦ

λαοῦ τῶν πολεμίων καταλαβεῖν τὸν τόπον πρὸς τὸ διαρπάσαι τὰ ἑαυτῶν ἄπλικτα, ὡς εἰώθη, οὓς μινσουράτορας ἤθισται ῥωμαίοις καλεῖν. Vide Φλάμουλα.

ΜΙΣΣΑΙ.

Μίσσαι in exercitu mane ac vesperi factæ. Mauricius lib. VII. Strateg. & Leo Constitut. XII. §. 115. Χρὴ, εἴτε ἐν φοσσάτῳ διάγει τὸ βάνδον, ἤτοι τὸ τάγμα, εἴτε καὶ καθ' ἑαυτὸ, ὅπου δήποτε ἀπλικεύει, πρωΐας εἰς αὐτὸν τὸν ὄρθρον πρὸ παντὸς πράγματος, καὶ εἰς ἑσπέραν ὁμοίως, μετὰ τὸ δεῖπνον καὶ τὰς μίσσας, τὸ τρισάγιον ψάλλεσθαι, καὶ τὰ λοιπὰ κατὰ τὴν συνήθειαν. Idem Mauricius lib. I. Strateg. & Leo Constitut. XI. §. 18. Δεῖ τοὺς χρησίμους τῶν * τριβούνων μετὰ τῶν ὑπ' αὐτοὺς ταγμάτων, εἰς τὰς πόρτας τοῦ φοσσάτου ἀφορίζεσθαι, ὥστε μετὰ τὰς ἑσπερινὰς μίσσας μέχρι τοῦ σημείου, * μηδένα θαῤῥεῖν παρὰ γνώμην τοῦ στρατηγοῦ αὐτῶν * ἐν τῷ φοσσάτῳ εἰσιέναι ἢ ἐξιέναι. Iidē

nonnullis interiectis : Κωλύειν δὲ καὶ τὰς ὀρχήσεις, καὶ τὸν κρότον, καὶ μάλιστα μετὰ τὰς ἑσπερινὰς μίσας, ὡς μὴ μόνον ἀκόσμοις καὶ θορυβώδεις, ἀλλὰ καὶ κόπους ἀνωφελεῖς παρεχούσας. Qui locus ita legitur apud Leonem in cod. Reg. (nam in cod. Med. deest) Constitut. XI. §. 24. Κωλύειν δὲ καὶ τὰς ὀρχήσεις, καὶ μάλιστα τὰς ἑσπερινὰς, καὶ ἄλλο εἴ τι παίγνιον, ὡς μὴ μόνον ἀκόσμους καὶ θορυβοειδεῖς ποιοῦντας ἀταξίας, ἀλλὰ καὶ κόπους ἀνωφελεῖς παρέχοντας. Procurandum autem maiore hostia monstrum verbi quod hoc loco sibi finxit Io. Checus, Horrescis. Nimirum legebat ὀρρήσεις, pro ὀρχήσεις. sed facilis fuit vel leuiter aduertenti emendatio.

MONOBANΔA.

Μονόβανδα, signa principalia & authentica, quæ sola conflictus tempore erigebantur. Vide Βάνδον.

ΜΟΝΟΞΥΛΟΝ.

Μονόξυλον. Glossarium vetus, Μονόξυλον, Lintris. Leo Constitut. XVII. §. 10. Γίνονται δὲ καὶ φανερῶς ἔφοδοι, ὅταν ἐν τῷ μεταξὺ διαστήματι τῶν ἐχθρῶν ποταμὸς εὑρεθῇ δύσβατος· καὶ μάλιστα τοῦτο ποιοῦσιν οἱ καβαλλάριοι· ἐνταῦθα γὰρ συμπηγνύουσι γέφυραν, ἢ διὰ ξύλων μεγάλων, ὡς ἔστιν ἔθος τὰς πολλὰς γεφύρας γίνεσθαι, ἢ διὰ μικρῶν πλοιαρίων τῶν λεγομένων μονοξύλων. Nec bona fide hunc locum reddidit Interpres.

ΜΟΝΟΠΑΤΙΑ.

Μονοπάτια. Itinera perāgusta in aplictis, per quæ vni tantum patet incessus. Anonym. Περὶ καταστ. ἀπλ. Ἐν ταύταις ταῖς δυσὶν ὁδοῖς πρὸς τὰ ἔνδον χείλη κόμητες οἱ παραβανδῖται τὰς σκηνὰς κατὰ τὸ εὐθὺ τῶν ὁδῶν ἱστάσθωσαν· ὀφείλουσι γὰρ καὶ ἔνδον οἱ τοῦ τάγματος μικρὰς ὁδοὺς ἀφορίζειν τὰ λεγόμενα μονοπάτια, δι' ὧν ἀστενοχωρήτως ἐκ τοῦ τάγματος μέλλουσιν εἰ-

σέρχεσθαι. Idem. Ἀπλικευέσθωσαν οὐδὲν ἔχοντες τὰ ἑαυτῶν ἄλογα· μέσον δὲ αὐτῶν ἐχέτωσαν μονοπάτια, τὰ μὲν εὐθὺ ἀποτεινόμενα, τὰ δὲ ἐγκαρσίως, πρὸς τὸ μὴ στενοχωρεῖσθαι· τὰς δὲ δημοσίας ὁδοὺς καὶ τὰ μονοπάτια εἰς τὰ ἄπληκτα αὐτῶν διερχόμενα, μὴ ἀποκλειέτωσαν, ἀλλ' ἀνεωγμένα ἔστωσαν.

ΜΥΑΙ.

Μύαι. Sagittæ minuſculæ. Leo Naumachicis: Καὶ τοξοβαλίστραι δὲ εἶτε ταῖς πρύμναις καὶ ταῖς πρώραις, καὶ κατὰ τῶν δύο πλευρῶν τοῦ δρόμωνος ἐκπέμπουσαι σαγίτας μικρὰς τὰς λεγομένας μύας. niſi fortè legendum μῦιας: quòd pungant quaſi muſcarum aculei. indéque ſit illis nomen. Sic à Luciano in Muſcę encomio, Μῦιαι στρατιώτιδες, muſcæ quædam pugnaces.

ΜΟΥΛΤΑΡΙΟΙ.

Μουλτάριοι, φρατριάζοντες, factioſi. Exſtat Nouella Conſtãtini Porphyr. Κατὰ τῶν ἀποστατῶν καὶ μουλταρίων. Vide Φρατρία.



ν.

ΝΑΥΚΛΑΙ.

Ναύκλαι. Mauricius lib. II. Strateg. cap. 21. Εἰ μὲν γεφυρῶσαι χρεία, τουτέστι ποντογέφυραν ποιῆσαι, δέον ἀπὸ τῆς ἰδίας ὄχθης ἄρξασθαι τὰ ἐπὶ τούτων σκεύη, τουτέστι ναύκλας μεγάλας, καὶ ποντυλῶσαι, ἤτοι καταστρῶσαι πάντων ἐν ἑτοίμῳ ὄντων.

ΝΑΥΚΕΛΙΑ.

Ναυκέλια, Naucellę. Aristo & Mæcianus l. 17. D. de Instruc. vel instrument. leg. Leo Constitut. V. §. II. Εἰ δὲ πρὸς ποταμοὺς ἢ λίμνας, τὰ ναυκέλια, ἤγουν πλοῖα μικρὰ, ἢ ἀπὸ βυρσῶν κατεσκευασμένα, ἢ κατὰ φύσιν. Constantin. Tactic. ἔχε καὶ πλοῖα

μικρὰ, ἢ καὶ ἀπὸ βυρσαρίων, ἢ καὶ μονόξυλα. Mauricius lib. I. Strateg. cap. 20. Ὅτι τοὺς δρόμωνας, καὶ τὰ λοιπὰ σκεύη, τά τε δαπανηφόρα, καὶ τὰ ναυκέλια, τά τε μικρὰ, καὶ τὰ ἄλλα τὰ εἰς γέφυραν πεποιημένα.

ΝΕΥΡΙΚΑ.

Νευρικά. Leo Naumachicis: Οἱ δὲ μὴ ἔχοντες λωρίκια, ἢ κλιβάνια, πάντως φορείτωσαν τὰ λεγόμενα νευρικὰ, ἅπερ ἀπὸ διπλῶν κεντούκλων γίνεται. Vide, Κέντουκλα.

ΝΟΒΙΣΚΟΥΜ.

Νοβίσκουμ. Vociferatio militaris, Deus nobiſcum. Mauricius lib. III. Strategic. cap. 19. Περὶ δὲ τῆς φωνῆς τῆς κατὰ συνήθειαν ποτὲ λεγομένης ἐν τῷ καιρῷ τῆς συμβολῆς, τοῦτ' ἔστι τὸ νοβίσκουμ, πάνυ ἡμῖν ἀσύμφορον καὶ ἐπιβλαβὲς φαίνεται, καὶ πρόφασιν γίνεσθαι διαλύσεως τῇ παρατάξει τὸ κατ' ἐκεί-

νην τὴν ὥραν ταύτην κράζεσθαι. συμβαίνει γὰρ δι' αὐτῆς τοὺς μὲν δειλοτέρους τῶν στρατιωτῶν εἰς μείζονα ἀγῶνα ἐμπίπτοντας ἐναπομένειν πρὸς τὴν ὁρμήν· τοὺς δὲ θρασυτέρους πρὸς ὀργὴν διεγηγερμένους προπετεύεσθαι, καὶ ἐξέρχεσθαι τῆς τάξεως. ὁμοίως δέ ἐστι καλδυνοῆσαι καὶ ἐπὶ αὐτῶν τῶν ἵππων, διαφορὰ γὰρ καὶ ἐν αὐτοῖς ἐστιν. ἐντεῦθεν οὖν ἄνισον καὶ ἀσύμφωνον· μᾶλλον δὲ καὶ διαλελυμένην εὑρίσκεσθαι συμβαίνει πρὸ τῆς συμβολῆς τὴν παράταξιν, ὅπερ ἐστὶν ἐπικίνδυνον. ἀλλὰ δεῖ τὴν μὲν εὐχὴν γίνεσθαι, ἐν ἐκείνῃ μάλιστα τῇ τοῦ πολέμου ἡμέρᾳ, ἐν τῷ φοσσάτῳ, πρίν ή τινα τῆς πόρτας ἐξελθεῖν· διά τε τῶν ἱερέων, καὶ τοῦ στρατηγοῦ, καὶ τῶν λοιπῶν ἀρχόντων, τὸ κύριε ἐλέησον, ἐπιμόνως ἅμα πάντας λέγειν, εἶτα διὰ τὸ αἴστον, καὶ τὸ νόβις κούμ, δέον τρίτον ἕκαστον μέρος ἐξερχόμενον τοῦ φοσσάτου. Vegetius lib.III. Signa vocalia dicuntur, quæ voce humana pronuntiantur, ſicut, in vigiliis vel in prœlio pro ſigno dicitur: vt puta, VICTO-

RIA. PALMA. VIRTVS. DEVS NOBISCVM.



Ξ.

ΞΥΛΟΚΑΣΤΡΑ.



υλόκαστρα, χαλαστικὰ, πυργοβάρεις, Nicet. Choniat. in Manuel. Comn. Leo Naumachicis §.7. Ἀλλὰ καὶ τὰ λεγόμενα ξυλόκαστρα περὶ τὸ μέσον τοῦ καταρτίου ἐν τοῖς μεγίστοις δρόμωσιν ἐπιστήσουσιν. Vide Γαλέαι.

ΞΥΛΟΚΟΝΤΙΑ.

Vide Κόντος. & Οἰκοφύλακες.

ΟΠΤΙ-



O.

ΟΠΤΙΜΑΤΟΙ.



Πτίματοι. Excerpta Olympiodori per Photium. Ὅτι τῶν Ροδογαΐσου Γότθων οἱ κεφαλῶται, Ὀπτίματοι ἐκαλοῦντο, εἰς δώδεκα συντείνοντες χιλιάδας. οὓς καταπολεμήσας Στελίχων, Ροδογαΐσον προσηταιρίσατο. Horum officium deſcribit Conſtantinus lib. περὶ Θεμ. Nam eò loci abſque dubio legendum, Ὀπτίματος, patet ex Mauricio lib. II. Strategic. cap. 3. Ταξίαρχοι λέγονται οἱ μοιράρχαι τῶν Ὀπτιμάτων, καὶ ἄρματος προσαγορεύεται ὁ σύμμαχος τοῦ Ὀπτιμάτου, ἤτοι ὁ αὐτοῦ ὑπασπιστής. Et lib. III. cap. 6. Εἰ μὲν τοι συμβῇ ἐν τῶν ὑποδεεστέρων τούτων ταγμάτων ἐν προμάτῃ τάξει τάσσεσθαι, ἢ

R

ἀπὸ ὀκτὼ, ἢ ἀπὸ δέκα ποιεῖν ὡς ἀσθενέστερα· τὰ μὲν τοι τῶν Ὀπτιμάτων τάγματα ὡς ἐν δευτέρᾳ τάξει ταττόμενα, καὶ ἐν ἐπιλογῇ ὄντα, ἀπὸ πέντε μὲν στρατιωτῶν, δύο δὲ ἁρμάτων ποιεῖν ἑπτὰ ἄνδρας τῆς δεκαρχίας ὀφειλούσης ἔχειν. Paulò post: Τοῖς μὲν ὀπτιμάτων τάγμασιν οἱ ἄρμαζοι συντάσσονται, τοῖς δὲ Φοιδερᾴτοις, οἱ ἐν δυνάμει εἰσερχόμενοι εἰς αὐτοὺς παῖδες. Et cap. 11. Πρὸς τούτοις δὲ εἰδέναι, ἐπὶ μὲν τοῖς ὀπτιμάτοις καὶ Φοιδεράτοις καθ᾽ ἕκαστον τάγμα, ἐπὶ δὲ τοῖς ἄλλοις τοῖς ὑποδεεστέροις καθ᾽ ἕκαστον μέρος, κατασκόπους, ἤγουν σκουλκάτωρας, &c.

ΟΠΙΣΘΟΚΟΥΡΒΙΟΝ.

Vide, Ἐμπροσθοκούρβιον.

ΟΙΚΟΦΥΛΑΚΕΣ.

Οἰκοφύλακες, Γεωργοί. Anonymus: Διοϊκήσασθαί τε αὐτὸν ὀλίγους τινὰς τοῦ ὑπ᾽ αὐτὸν λαοῦ, χιτῶνας ἀμφιάσασθαι γεωργῶν,

συμμίξαι τε αὐτοῖς τῇ ἀληθείᾳ καί τινας τῶν ἀγροτῶν καὶ γεωργικῶν, ἀνόπλους δὲ πάντας εἶναι, καὶ τὰς κεφαλὰς ἀσκέπους, τινὰς δὲ καὶ ἀνυποδέτους, ἐφ' ἵππους δὲ ἅπαντας, ξυλοκόντια κατέχοντας πάνυ κονδὰ, πρὸς τὸ ἀπατῆσαι τοὺς πολεμίους, καὶ δόξαν αὐτοῖς ἐμποιῆσαι ὡς οὐκ εἶεν τοῦ στρατοῦ, ἀλλὰ γεωργοί τινες οἱ λεγόμενοι Οἰκοφύλακες. Vide Σέδετα.

ὌΡΔΙΝΟΝ.

Ὄρδινον. Glossæ Isidori: Ordo, acies: Ordinarius, miles qui integro ordine militat. Glossarium vetus: Ταξίαρχος, Ordinarius, manipularius. Leo Constitut. III. §. 17. Λοχαγὸς λέγεται ὁ πρῶτος τοῦ στίχου, ἤγουν τοῦ ὀρδίνου, κατὰ τὸ βάθος. & §. 33. Τότε τοὺς φύλακας τῶν ἀκιῶν, ἤγουν τῶν κατὰ τὸ πάχος τῆς παρατάξεως ὀρδίνων. Mauricius lib. I. Strategic. cap. 19. κατὰ τὰ μέρη τῆς παρατάξεως περιπατεῖν, εἴτε ἐν ὀρδίνῳ, εἴτε ἐν παρατάξει πρὸς τὸν τόπον.

Idem lib.II.cap.15.dixit, ΟΡΔΙΝΑΤΙΩΝΑ. Χρὴ τὴν τοιαύτην ἐπιλογὴν ϗ ὀρδινατίωνα ποιεῖσθαι ἐν τοῖς κοντουβερνίοις.

Item ΟΡΔΙΝΙΑΝ, Leo Constitut. III.§.35. Δύο δὲ μανδάτωρας ἀγρύπνους ϗ φρονίμους ἐπιλεγῆναι δέον, ϗ δύο βανδοφόρους ἀπὸ ἑκάστου τάγματος, τὴν δὲ τοιαύτην ἐπιλογὴν ϗ ὀρδινίαν ποιεῖσθαι ἐν τοῖς κοντουβερνίοις, τουτέστιν ἐν ταῖς ἀκίαις. Leonardus Phortius lib.I. Στρατηγικῆς Πραγματείας:

Ὅπου θὲς ὀρθὰ βαλμένα
Τὸ ἐν τοῦ ἄλλου πλατία
Νὰ ἔχουσιν ὀρδινία.

Paulò post:

Μετὰ ταῦτα νὰ κειτάξεις
Χώματος νὰ τὰ σοιβάζεις
Ἕναν πάτον μ' ὀρδινία
Ἄλλον δὲ μετὰ κλαρία.

Et sub finem libri:

Τὰς ὥρας μὴν νὰ χαράζεις
Τρεῖς ὀκτὼ μὲ ὀρδινίαν
- - - - - - - - - - -

Να τὸ ἔχῃς εἰς τὴν χρείαν.

Item ΟΡΔΙΝΕΥΣΑΙ. Mauric. lib. II. Strateg. cap. 5. Δεῖ ἕκαστον ἄρχοντα τὸ ἴδιον τάγμα ὀρδινεῦσαι, ἤτοι διανεῖμαι, εἰς κοντουβέρνια.

Item ΟΡΔΙΝΕΥΕΙΝ. Mauric. Οὐ μόνον ὡς ἡ παραγραφὴ δηλοῖ ἐπὶ μῆκος ὀρδινεύειν καὶ γυμνάζειν ἀναγκαῖον ἐστὶ τὸ τάγμα. &c. Leo Constitut. VII. §. 47. ἐπὶ μῆκος ὀρδινεύειν.

ΟΡΝΙΒΩΡΕΣ.

Ορνίβωρες. Mauricius lib. I. Strateg. cap. 7. Πρῶτον τὸν ἄρχην ὀφείλοντα, καὶ σημεῖον ὡς ἐπὶ τῶν ἵππων ἐντιθέναι τοῖς βουσὶν ἰδικὸν ἑκάστου ἀριθμοῦ, ἵνα ὦσιν εὔδηλοι τοῖς ἰδίοις. ἔχειν δὲ καὶ ὀρνίβωρας ἐαν ἅπαντα καθ᾽ ἕκαστον μέρος, &c. Et cap. 11. Εἰ δὲ μέρος γυμνάζεται, μηδένα ἔμπροσθεν περιπατεῖν, εἰ μὴ τῷ μέρους ἄρχοντα καβαλλάριον μετ᾽ μαν-

δακτόεσον δύο, σράτωρ@ ἐνός, κὶ σσαθὶκ ἐνός, καὶ τοὺς ὀρνίθωρας, μέχρις ἂν πλησίον τῆς συμβολῆς γένηται ἡ παράταξις· τότε δὲ εἰσέρχεσθαι ἐν τῇ παρατάξει, ἤτοι ἀσφαλῶς, ἐν ᾧ τὸ βανδον αὐτῶ τέτακται, κὶ μὴ συμπλέκεσθαι αὐτὸν πολεμίοις, μηδὲ τοὺς ὀρνίθωρας, διὰ τὸ γυμνοὺς αὐτοὺς εἶναι.



σ'.

ΠΑΓΑΝΟΣ.

Vide Βαγδῶσαι.

ΠΑΛΛΙΟΝΕΣ.

Vide, Μάνδανα.

ΠΆΛΛΙΚΕΣ.

Πάλλικες. Παῖδες. Mauricius lib. II. Strateg. cap. 2. ἀπορουῦτες παλλίκων ἐν τῷ πολέμου, ἀναγκάζονται ἐξ αὐτῶν τῶν

καιερ.

στρατιωτῶν ἀφορίζεσθαι εἰς τὸ τοῦλδον. Idem lib. VI. cap. 1. Τοῦ τούλδου κατὰ τὸ ἀναγκαῖον δεῖ φροντίζειν καὶ παραφρονεῖν αὐτοῦ, ἢ ὡς ἔτυχε καταλιμπάνειν αὐτὸν ἀνασφαλῶς, ἢ πάλιν ἀπροόπτως ἐπιφέρεσθαι ἐν τῇ μάχῃ· συμβαίνει γὰρ τοὺς πάλλικας εἶναι ἐν αὐτῷ χρησίμους τοῖς στρατιώταις. Idem lib. IIX. Δοθῆναι μανδάτα τοῖς πάλλιξι. Dicti etiam ΠΑΛΛΙΚΑΡΙΟΙ. Leo Constitut. X. cap. 4. Καὶ πρωτοτύπως μὲν συνεπαγομένου τοῦ τούλδου, καὶ συμβολῆς δημοσίας προσδοκωμένης, πλῆθος τῶν λεγομένων παλλικαρίων, ἤγουν τῶν δουλευόντων τοῖς τε ἄρχουσι καὶ τοῖς στρατιώταις, ἐπιφέρεσθαι οὐ συμβουλεύομεν. Vide, Ἀδέστρατα.

ΠΑΛΟΥΔΙΟΝ.

Παλούδιον. Mauricius lib. IV. Strategic. cap. 3. Ἕτεροι τὸν ὅμοιον τρόπον ἐν παλουδίῳ ποιήσαντες, δύο ἢ τρεῖς εἰσόδους στερεὰς καὶ ἑδραίας προεπινόησαν, ἡνωμένας τῷ πα-

ρατασομένῳ στρατῷ περιετάξαντο τοῦ παλουδίου· καὶ σχηματισάμενοι ἐν τῇ συμβολῇ τὴν φυγὴν τὸν εἰρημένον τρόπον, περιέτρεψαν τοὺς ἐχθροὺς τῷ παλουδίῳ περιπεσεῖν· καὶ ἄφνω ἐπελθόντες, οἵ τε τὸ ἔγκρυμμα ἔχοντες ἐκ πλαγίων, καὶ τὸ σχηματικῶς ὑποχωρήσαντες κατὰ κράτος τοὺς ἐχθροὺς ἀπώλεσαν. Nec absimi-
„ lem dolum, in caua palude, Catullus facetissimo ad Coloniam Epigrammate meditatur.

ΠΑΜΦΥΛΟΝ.

Πάμφυλος δρόμων, Imperatoria nauis. Leo in Naumachicis, §. 41. Πάντως γὰρ δεῖ σε ὦ στρατηγὲ δρόμωνα ἔχειν τὸν ἴδιον ἐξ ἅπαντος τοῦ στρατοῦ ἐπιλέκτους ἔχοντα τοὺς στρατιώτας, μεγέθει καὶ ἀνδρείᾳ καὶ ἀρετῇ καὶ τῇ ἄλλῃ πανοπλίᾳ * καὶ τὸν δρόμωνα δὲ μεγέθει καὶ παχύτητι τῶν ἄλλων διαφέροντα, ὡς ἂν κεφαλὴν τινα τῆς παρατάξεως ἁπάσης. καὶ

κατα-

κατασῆσαι τὸν τῆς σῆς ἐνδοξότητος τοιοῦτον δρόμωνα τὸν δὴ λεγόμενον Πάμφυλον.

ΠΑΝΘΕΩΤΑΙ.

Πανθεῶται. Anonymus. περὶ κατασ. ἀπλ. Κατὰ δὲ τὸ δεξιὸν ἀνατολικώτερον τοῦ τῆς τραπέζας εἰσὶ πανθεῶται. ὁ δὲ περφέξιμος καὶ ὁ κόμης τῶν βουκίνων, σὺν τοῖς μαγλαβίταις στηκέτωσαν. εἰσὶ δὲ δουκάτωρες μετὰ τοῦ περφεξίμου ἔστωσαν, ἢ μεθ' ἑτέρου τινὸς εἰς ὃν ὁ βασιλεὺς ὁ ὁ ἅγιος πληροφορίαν ἔχει. Vide Μαγλαβίται, &, Σπαῦλον.

ΠΑΞΑΜΑΔΙΟΝ.

Παξαμάδιον, & Παξάμας, δίπυρος ἄρτος. Biſcuit. Fortè à Paxamo. de quo Suidas: Πάξαμος ἔγραψε ὀψαρτυτικὰ κατὰ στοιχείων. βοιωτικὰ ἐν βιβλίοις β. &c. Leo Conſtitut. X. §. 13. Δαπάνην ἔχειν ἢ παξαμαδίου, ἢ πίστου, ἢ ἄλλου τινὸς εἴδους ἐλαφροῦ κ' ἢ

λ. λίτρας. Fortasse legendum εἴδους ἀλεύρου. Sic enim idem Constitut. XII. §. 124. Χρὴ οὖν καὶ ἐν τῇ ἡμέρᾳ τοῦ πολέμου ἕκαστον στρατιώτην ἐν ταῖς σέλλαις αὐτῶν ἐπιφέρεσθαι ὕδωρ εἰς τὰ λεγόμενα φλασκία (alius liber: εἰς τὰς λεγομένας ἀσκοδαύλας) καὶ παξιμάδιον ἐν τῷ σελλοπουγγίῳ, καὶ ἄλευρον, μίαν ἢ δύο λίτρας. Et Constitut. XIII. §. 11. Ἔχειν ἐν τῷ σελλοπουγγίῳ αὐτοῦ μίαν ἢ καὶ δύο λίτρας ἄρτου, ἢ ἀλεύρου, ἢ πιστοῦ ἑψητοῦ, ἢ παξαμάδας, ἢ κρέας. Vide Βουκελάτον. Cuiac. ad legem 1. De erogatione militaris annonæ. C.

ΠΑΡΑΒΑΝΔΙΤΑΙ.

Παραβανδῖται. Anonymus περὶ καταστ. ἀπλ. Ἐν ταύταις οὖν ταῖς δυσὶν ὁδοῖς πρὸς τὰ ἔνδον χείλη κόμητες οἱ παραβανδῖται τὰς σκηνὰς κατὰ τὸ εὐθὺ τῶν ὁδῶν ἱστάθωσαν.

ΠΑΡΑΚΟΝΤΑΚΙΟΝ.

ΠΑρακοντάκιον. Leo Constitut. VII. §. 12. Γυμνάσεις εἰς τὸ ἐπέρχεσθαι ἀλλήλοις ἄνδρας β. καὶ ὑποχωρεῖν, καὶ πάλιν ἀπελαύνειν, καὶ ἐξελίσσειν κατὰ τὸν τύπον παρακοντακίου. Constantinus Tactic. καὶ πάλιν ἀπελαύνειν, καὶ γυμνάζεσθαι κατὰ τὸν τύπον τοῦ παρακονταρίου. Scribe, παρακοντακίου. Rectè interpretatur Filipp. Pigafetta.

ΠΑΡΑΜΗΡΙΑ.

ΠΑραμήρια. Leo Constitut. V. §. 3. Ῥιπτάρια, τζικούρια, καὶ ἕτερα τζηκούρια ἀμφίστομα, ἐφ' ἓν μέρος ὡσανεὶ σπαθίου, ἐπὶ δὲ τὸ ἕτερον οἷον ξίφος κονταρίου, μετὰ θηκαρίων αὐτῶν δερματίνων καὶ βασταγίων, παραμήρια, μαχαίρας μεγάλας μονοστόμους. Idem Constitut. VI. §. 2. Ἔχειν δὲ καὶ σπαθία ἀποκρεμάμενα τῶν ὤμων αὐτῶν κατὰ τὴν ῥωμαϊκὴν τάξιν· καὶ ἕτερα παραμήρια, ἤτοι μαχαίρας δι-

ζωσμένοις. Cedrenus p. 368. Μόνου δὲ ὑπολειφθέντος Ἰουστινιανοῦ ἐν θυμῷ δραξάμενος τοῦ τραχήλου αὐτοῦ Ἠλίας τῷ παραμηρίῳ τὴν κεφαλὴν αὐτοῦ ἐξέτεμε. Paulus Aquileg. Histor. Miscel. XX. Tunc prædictus Helias furore repletus, currens, collo eius comprehenso, pugione quo erat accinctus caput eius amputauit. Iustinianus, Nouella πέ. Iulianus Antecess. C P. No. LXXIX. Fr. Pithœus Gloss. ad Iul.

ΠΑΡΑΠΟΡΤΙΑ.

Παραπόρτια. Gallicè dico: faulses portes. Mauricius I. Strategic. cap. 12. Ἔχειν δὲ τὴν περίμετρον τοῦ φοσσάτου τέσσαρας μὲν πόρτας τελειοτέρας καὶ δημοσίας, παραπόρτια δὲ μικρὰ πλείονα, καὶ καθ' ἑκάστην πόρταν, ἤτοι πύλην, ἄρχοντα ἕνα πλησίον ἀπληκεύοντα πρὸς παραφυλακὴν αὐτῆς. Idem X. cap. 3.

Καὶ παραπόρτια δὲ ἐν τοῖς τοιούτοις πύργοις ἐν πλαγίῳ στενὰ ἀνοίγεσθαι κατὰ τὸ δεξιὸν μέρος τῶν προσαγομένων μαγγάνων ἐκ τῶν ἐχθρῶν. ἵνα πεζοὶ ἐξερχόμενοι ἐκ τῶν παραπυλίων, καὶ κατὰ χεῖρα ἁρμοδίως τῷ σκουταρίῳ σκεπόμενοι, καὶ ὑπὸ τῶν ἄνωθεν βοηθούμενοι, δυνάνται ἀπωθεῖν τὰ μάγγανα. Vide Πόρται. Iulius Aphricanus lib. de Bellico Apparatu: Ἐχέτω δὲ τὸ στρατόπεδον πόρτας μεγάλας, ἤτοι ἐξόδους δημοσίας τέσσαρας, παραπόρτια δὲ μικρὰ πλείονα. ἐν ἑκάστῃ δὲ δημοσίᾳ πόρτῃ ὀφείλει εἶναι πλησίον ἔξοδος ἔνδοθεν παραπορτίου μικροῦ. καὶ ἀρχόντων χρησιμωτάτων ἐφισταμένους εἰς φυλακὴν αὐτῆς· ἔσωθεν δὲ τοῦ τάφρου, εἰ μὲν εἰσὶν ἅμαξαι, ἢ σάβαρα, ἢ ἕτερον οἰκοδόμημα ἐπισκευάζεσθαι.

ΠΕΔΑΤΟΥ͂ΡΑΙ.

Πεδατοῦραι, Pedaturę, Podismi, in vet. Gloss. Mauricius XI. Strategic. cap. 3. Εἰ δὲ δῆμος ἐστὶν ἐν τῇ πόλει, δέον κἀκεί-

νους συμμίξαι ἐν ταῖς τοῦ τείχους πεδατούραις τοῖς στρατιώταις. ἐκ τούτου γάρ. οὐδὲ εὐκαιροῦντες στάσιν μελετῶσιν, ἀλλὰ καὶ δοκοῦντες φυλακὴν τῆς πόλεως πεπιστεῦσθαι, ἐρυθριῶσιν * ἑταιρῆσαι. Leo in codice Regio, Constitut. XV. §. 56. Ἐὰν δὲ καὶ διχοστασία ἐστὶν παρά τινων ἐν τῇ πόλει, ἢ τῷ κάστρῳ, δέον * ἢ κἀκείνους εἰρηνεῦσαι, καὶ συμμίξαι ἐν ταῖς τοῦ τείχους πεδατούραις τοῖς στρατιώταις. ἐκ τούτου γάρ οὐδὲ εὐκαιροῦσι * στάσιαν μελετῆσαι, ἢ κατὰ τοῦ κοινοῦ, ἢ καθ᾽ ἑαυτῶν. ἀλλὰ καὶ δοκοῦντες φυλακὴν τῆς πόλεως πεπιστεῦσθαι * ἐρυθριῶσι νεωτερῆσαι. Pro duobus postremis verbis, in codice Mediceo legitur: αἰσχύνονται ἀταξίας ποιεῖν. Vetus Glossariũ: Νεωτεριστής, Factiosus. Aliud Gloss. ὁ τάγματος ἡγούμενος, Factionarius.

ΠΕΔΙΚΛΟΝ.

Vide Λωρόσοκκον.

ΠΕΔΙΚΛΟΥΝ.

ΠΕδικλοῦν, δεσμεύειν, Impedire. Curruum boues impediri solebāt, aut

procul ab exercitu haberi, ne pedites in conflictu turbarent. Mauricius I. Strategic. cap. 22. ὥστε ἐπινοῆσαι ταῖς βουσὶ τῶν ἁμαξῶν, ἵνα ἐν τῷ ἀκολουθεῖν τῇ παρατάξει, εἰ χρεία γένηται, δυνάμεναι τὰς ἁμάξας, μὴ διαταράσσωνται ὑπὸ τοῦ θορύβου τῶν ἐχθρῶν, ὑπὸ τῶν, ὡς εἰκὸς, βαλλομένων σαγιτῶν, καὶ ἀπακλῦσαι ἐνοχλήσωσι τῇ παρατάξει, καὶ ἢ πεδικλοῦν ταύτας, ἢ δεσμεύειν, ἵνα, ὡς εἴρηται, εἰ καί τινες ἐξ αὐτῶν ὑπὸ σαγιτῶν τιτρώσκωνται, μὴ διαταράσσωσι τοὺς πεζούς. Eadem reperiuntur apud Leonem Constitut. XI. §. 47.

ΠΕΛΤΑΣΤΑΙ.

Πελτασταὶ, peltastæ. Thomas Magister: Παλτὸν, δόρυ· πέλτη δὲ ἡ ἀσπὶς, ἣ ἴτυν οὐκ ἔχουσα. καὶ πελτὸς, καὶ πελτάριον. καὶ πελταστὴς ὁ χρώμενος τούτῳ. Videndus Suidas. Leo Constit. VII. §. 37. ex codice Mediceo: Τὸ δὲ τῶν πελταστῶν λεγομένων εἶδος, ὅπερ

νεώτεροι τῶν τακτικῶν καὶ ἐδήλωσαν, τοῖς ψιλοῖς αὐτὸ ὡς ὑπολαμβάνω συμμίξαντες, καὶ αὐτὸ μὲν εἶχεν ὁπλισμὸν, ἐλαφρότερον δὲ τῶν ἄλλων. εἶχε γὰρ πέλτην, ὅ ἐστι σκυτάριον μικρὸν, καὶ τὰ δόρατα αὐτῶν ἤγουν τὰ κοντάρια, πολὺ τῶν λεγομένων σαρισσῶν παρὰ τοῖς παλαιοῖς κοντότερα. αἱ δὲ σαρισσαὶ ἦσαν κοντάρια μακρὰ, ἕως πηχῶν ιδ. καὶ ἄχρι πηχῶν ιϛ. ἐδόκει γὰρ ἡ τῶν πελταστῶν ὅπλισις μέσην ἔχειν τάξιν τῶν τε ψιλῶν, καὶ τῶν ἰδίως λεγομένων ὁπλιτῶν. ἦν δὲ παρὰ τοῖς ὁπλίταις καὶ ἀσπὶς μακεδονικὴ χαλκῆ οὐ λίαν κοίλη, ἤγουν σκυτάριον τὸ στρογγύλον μέγα, *ἁπλωτέραν ἔχων τὴν κοιλότητα. τὸ δὲ μέγεθος αὐτῆς σπιθαμῶν τριῶν. ἦν δὲ καὶ κοντάριον οὐ μικρότερον πηχῶν ὀκτώ. τὸ γὰρ μακρότατον μέχρι τοῦ δύνασθαι ἄνδρα κρατοῦντα κινεῖν αὐτὸ εὐκόλως. Minus elegans lectio in cod. Regio. Vide Σάρισσα.

ΓΛΗ-

ΠΛΗΓΑΤΟΙ.

Πληγάτοι. Mauricius: Εἰ συμβῇ τινας πληγάτους ἐν τῇ συμβολῇ γενέσθαι. Idem VII. cap. 6. Χρὴ σπουδάζειν μετὰ τὸν πόλεμον τὸν στρατηγὸν τοὺς πληγάτους παραμυθεῖσθαι, καὶ τοὺς διαπίπτοντας ἐν τῷ πολέμῳ ταφῆς ἀξιοῦν, ἐπειδὴ καὶ ὅσιόν ἐστι, καὶ προθυμίαν τοῖς ζῶσιν ἐμποιεῖ.

ΠΟΔΟΨΕΛΛΑ.

Ποδόψελλα. Vetus Glossarium: Ποδόψελον, Pediculum. Leo Constitut. V. §. 5. Ποδόψελα, χειρόψελα, σιδηρᾶ, ἢ ἐξ ἑτέρας ὕλης. Idem Constitut. VI. §. 4. Εἰ δυνατὸν ἔχειν καὶ περικνημίδας, ἅτινα λέγεται νῦν ποδόψελα, καὶ * πτερνιστῆρας, &c. Et §. 25. Ἔχειν δὲ καὶ χειρομανικὰ τὰ λεγόμενα μανικέλλια, καὶ χειρόψελλα σιδηρᾶ ἢ ξύλινα, καὶ περικνημίδας ὁμοίως, ἃ λέγεται ποδόψελλα ἢ χαλκότουβα.

ΠΟΔΑΓΡΑΙ.

Ποδάγραι. Veteres Glossæ: Ποδάγρα, Pedica. Ποδάγραι, ὀρύγματα, ἱπποκλάσται, fallendis intercipiendísque hostibus vt feris. Scriptor aliquis apud Suidam: Τάφρους ὤρυξε καὶ ποδάγρας ὑφῆκεν ὡς θηρίοις τοῖς πολεμίοις. Vide Ἱπποκλάσται.

ΠΟΔΟΚΛΑΣΤΑΙ.

Ποδοκλάσται. Ποδάγραι. Anonymus περὶ κατασ. ἀπλ. Ὀρυττέσθωσαν δὲ καὶ λάκκοι, οἱ λεγόμενοι ποδοκλάσται, ἵνα ἐν αὐτοῖς ὀξεῖς ξύλινοι σκόλοπες καταπηγνύσθωσαν. ἐκτὸς δὲ τῶν τοιούτων γνώρισμά τι γινέσθω, ἢ * τάφρος μικρός, ἢ ἀπὸ χωμάτων βουνίτσια μικρά, ἢ λιποσωρεῖαι· ἵνα μὴ ἀσκόπως τινὲς τῶν τοῦ ἰδίου στρατεύματος περιπίπτοντες τοῖς τοιούτοις καταβλάπτωνται. Vide Ἱπποκλάσται.

ΠΡΑΙΤΩΡ.

Vide Πρωτονοτάριος.

ΠΟΝΤΟΓΕΦΥΡΑ.

ΠΟντογέφυρα. Mauricius I. Strategic. cap. 2. Εἰ μὲν γεφυρῶσαι χρεία, τουτέστι ποντογέφυραν ποιῆσαι, δέον ἀπὸ τῆς ἰδίας ὄχθης ἄρξασθαι τὰ ἐπὶ τούτων σκεύη, τουτέστι ναύκλας μεγάλας, καὶ ΠΟΝΤΥΛΩΣΑΙ, ἤτοι καταστεγῶσαι, πάντων ἐν ἑτοίμῳ ὄντων, τῶν τε σχοινίων, καὶ τῶν ποντύλων. Vide Μάγγανα.

ΠΟΡΤΑΙ.

ΠΟρται. Mauric. III. Strategic. cap. 19. Δεῖ τὴν μὲν εὐχὴν γίγνεσθαι ἐν ἐκείνῃ μάλιστα τῇ τοῦ πολέμου ἡμέρᾳ ἐν τῷ φοσσάτῳ πρινή τινα τῆς πόρτας ἐξελθεῖν. Idem: Πόρτας τοῦ φοσσάτου φυλάττειν. Vide Παραπόρτια.

ΠΟΥΒΛΙΚΙΖΕΙΝ.

ΠΟυβλικίζειν, publicâ pugnâ, vniuersis copiis confligere. δημοσίοις πολέ-

μοις συμπλέκεσθαι. δημοσίᾳ παρατάξει, ἢ συμβολῇ. δημοσίᾳ μάχῃ. δημοσίως. δημοσιεύειν τῷ στρατῷ. πανστρατιᾷ. Mauricius II. Strateg. cap. 9. Χρὴ ἐὰν ὀλίγος ἐστὶν ὁ στρατὸς μὴ ἐπιτηδεύειν διὰ τόπων οἰκουμένων παράγειν αὐτὸν, μηδὲ ἐν τῇ ἰδίᾳ, μηδὲ ἐν τῇ πολεμίᾳ, ἵνα μὴ διὰ κατασκόπων ἔκδηλος γενόμενος τοῖς ἐχθροῖς πουβλικευθῇ, ἀλλὰ δι' ἑτέρων τόπων παρέρχεσθαι. Idem IV. cap. 5. Ἀναγκαῖον ἐστὶ λοιπὸν καὶ τὴν πρὸς ἄλληλα τὰ βάνδα συμφωνίαν καὶ τάξιν ἐθίζεσθαι, οὐκ ἐπὶ παρατάξεως, ἀλλ' ἵνα μὴ πουβλικίζηται ἡ πᾶσα παράταξις τοῖς ἐχθροῖς. Suidas: Πανστρατὶ, ὅλῳ τῷ στρατοπέδῳ. Πανσυδὶ, πανστρατιᾷ καὶ πανσυδίῃ. Notaui ad Onosandrum pag. 55. & 71.

ΠΟΥΒΛΙΚΑ.

ΠΟύβλικα. Mauricius IV. Strategic. Τῆς οὖν τοιαύτης γυμνασίας κατορθουμένης εἰς τὰ πλείονα, ἢ καὶ εἰς πάντα γινώσκουσιν οἱ

στρατιῶται ὡς πούβλικα, διὰ τῶν εἰρημένων ἐννέα τούτων κινήσεων, &c.

ΠΟΥΓΓΙΑ.

Πουγγία. Γουγγί, marſupium. Corona pretioſa: Μπόρσα, πουγγί, κρουμένα, φασκώλιον. Mauricius II. cap. 2. Τοξάρια ἔχοντα θηκάρια πλατέα, ἵνα ἐν καιρῷ δυνατὸν ᾖ τεταμένα χωρεῖν τὰ τόξα ἐν αὐτοῖς· κόρδας ἐκ περισσοῦ ἐν τοῖς πουγγίοις αὐτῶν. Eadem in Leon. Conſtitut. VI. §. 2. Videatur Balſamo ad can. 61. Sext. Syn. in Trullo. 232.

ΠΡΑΙΔΑ.

Πραῖδα, & Πραιδεύειν, apud Mauricium X. Strategic. Χρὴ ἐὰν συνέστηκε στρατὸς ἐχθρῶν, καὶ ἔξωθεν ὀχυρωμάτων διάγῃ, μηδαμῶς ἐπὶ ἁρπαγῇ ἢ πραῖδα * πραγμάτων τινὰς τῶν στρατιωτῶν ἐπαφιέναι. Paulò

post: Χρὴ τοὺς εἰς πραῖδαν ἀπερχομένους μὴ πάντας εἰς διαρπαγὴν ἀσχολεῖσθαι, ἀλλὰ διακεκρυμμένους εἶναι. καὶ τοὺς μὲν αὐτῶν πραιδεύειν, τοὺς δὲ πλείους αὐτῶν συντεταγμένους εἰς φυλακὴν αὐτῶν παρακολουθεῖν. Vide quæ notaui ex Leone ad Onoſandri pag. XXXVI. In legibus Georgicis, πραῖδαν ποιεῖν, &, πραιδεύειν, de quadrupedibus pauperiem facientibus.

ΠΡΟΚΛΑΣΤΗΣ.

ΠΡοκλάστης. κούρσωρ. Leo Conſtitut. VII. §.38. Ἑτέρα δὲ κίνησις, ὥστε ἐπιδιώκειν, ὅτε μὲν σὺν ἐλασίᾳ, ὡς κούρσωρας, οὓς τὸ νῦν προκλάστας λέγουσι. Idem Conſtitut. VIII. §.42. Κούρσωρας, ἤγουν προκλάστας ἢ προμάχους. Idem XII. §.37. διατάξεις εἰς κούρσωρας, ἤγουν προκλάστας, τοὺς ἔμπροσθεν τῆς παρατάξεως πρὸ τῶν ἄλλων κατὰ τῶν ἐχθρῶν προτρέχοντας. Vide Κοῦρσον.

ΠΡΩΤΟΚΑΡΑΒΟΣ.

ΠΡωτοκάραβος. Leo Naumachicis §. 8. Καὶ τοὺς δύο κυβερνήτας τοῦ δρόμωνος αὐχένων, οὓς καλοῦσι πρωτοκαράβοις. Καράβια, ſcaphulæ, Eclog. Baſilic. LIII. Καράβια, νῆες ποτάμιαι, Nicet.

ΠΡΩΤΟΝΟΤΑΡΙΟΣ.

ΠΡωτονοτάριος. Leo Conſtitut. III. §. 31. Ὁ γὰρ πρωτονοτάριος τοῦ θέματος, καὶ ὁ χαρτουλάριος, προσέτι καὶ ὁ πραίτωρ, ἤγουν ὁ τοῦ θέματος δικαστής. ὁ μὲν τῆς πολιτικῆς ἐστι διοικήσεως ἄρχων, ὁ δὲ πρὸς τὴν τοῦ στρατοῦ καταγραφήν τε καὶ ἀναζήτησιν, ὁ δὲ τὰς δίκας τῶν δικαζομένων διαλύει. Hinc reficiendus iſte locus, qui nec integer citatur in fragmentis à Bon. VVlcanio & Fran. Robortello editis.



ρ.

ΡΑΣΣΑ.



Ασά. Mauricius II. Strategic. cap. 2. Χρὴ τὰ ἱμάτια αὐτῶν πλατέα εἶναι, καὶ τέλεια, κατὰ τὸ σχῆμα τῶν Ἀβάρων κεκομμένα, τουτέστι ζωσάρελα, εἴτε λινὰ, εἴτε αἴγια, εἴτε ῥασά. Ῥασοφορῶν, ῥακενδύτης, μοναχὸς, Nicetæ Choniati. Ῥασὰ, ἐσθήματα μοναστικά.

ΡΕΠΑΡΑΤΙΩΝΑ.

Ρεπαρατίωνα, ἀπόλυσιν. Mauricius in Legibus Militarib. Εἴ τις λαμβάνων ῥεπαρατίωνα τῶν ἑαυτοῦ ὅπλων περιφρονήσῃ, καὶ μὴ τοῦτον ὁ δέκαρχος ἀναγκάσῃ ταῦτα κτήσασθαι, ἢ τῶ

ἢ τῷ ἰδίῳ ἄρχοντι φανερώσῃ, καὶ ὁ στρατιώτης αὐτὸς, καὶ ὁ δέκαρχος σωφρονισθῶσιν. Leo in codice Regio, Constitut. III. §. 10. Εἴ τις λαμβάνων ἀπόλυσιν ἐν ἀκαιρίαις ἡμέραις, τῶν ἑαυτοῦ ὅπλων περιφρονήσῃ, καὶ μὴ τοῦτον ὁ δέκαρχος ἀναγκάσῃ κτήσασθαι, & cętera vt in Mauricio. In codice Mediceo: Εἴ τις ἀπολυόμενος ἐν * ἀκαίραις ἡμέραις τὰ ἑαυτοῦ ὅπλα περιφρονήσῃ, &c.

ΡΙΠΤΑΡΙΟΝ.

Ῥιπτάριον, δόρυ, Nicet. Mauricius I. Strategic. cap. 16. Οἱ μὲν ἔχουσι μαρζοβάρβουλα ἢ ῥιπτάρια. Leo Constitut. VI. §. 7. Ἀκόντια ἤτοι ῥικτάρια (sic vbique fere scriptum reperio) ἔχειν. Idem §. 20. βηρύτας, ἃ λέγεται ῥικτάρια. Idem §. 35. ἐπόξυλον ἢ ῥικτάρια ἔρριπτον. Glossarium ms. Ἀκινάκης, σπαθομάχαιρον * ῥηκτάριον δόρυ, ἢ ἀκόντιον περσικόν. Iulius Aphricanus: ὀφείλουσιν ἐπὶ

V

ἐμπεριθεῖν τοὺς κονταρεάτοι, ἐπειδὰ τοὺς ἀπεραῦτοι, καὶ τοὺς ῥιπλαρισταί. apti ſcilicet ad ſuperuentus faciendos. Sic in V. Gloſſ. Ἐπεῤῥίπλω, ſuperuentum facio. Item, Ῥίπλω, ἀπὸ ἀκοντίου, iacio, iaculor, proicio.

Ρ Ο Γ Α.

Ρόγα, μισθὸς, σιτηρέσιον, μισθωτὴ συμμαχία. Ῥογεύειν στρατὸν, στρατολογεῖν. Ῥογεύεσθαι, τὸν ὀψωνιασμὸν παρέχεσθαι. Nicet. Choniat. De Roga ſiue erogatione militari, Anonym. περὶ κατασ. ἀπλ. Προσήκει γὰρ μὴν τάς τε ῥόγας αὐτῶν καὶ σιτηρεσίας ἀνελλιπῶς τούτους λαμβάνειν. Ideóque creati qui rogam ſiue annonam exigerent, dictique, Opinatores. Gloſſæ: ὁ τῆς στρατιωτικῆς ἀννώνης ἀπαιτητὴς, Opinator. Item Ῥογάτωρες, apud Curopalatem, quos vetus Interpres in Perſij Sat. II. Diſpenſatores & Prorogatores vocat. Cōtrà verò odio

fuere militibus * Derogatores, ἐλλείποντες, rogas abbreuiantes, ἀπελίζοντες, χρεωκοποιοῦντες. Paulus Aquileg. Histor. miscel. XXIV. quin potius abbreuians eius rogam, murmurantem nimis cecidit. lib. XIIX. Erant autem Arabum iuxtà positorum quidam qui accipiebant ab Impp. rogas pauxillas ad custodiendum stoma eremi. Eodem tempore venit quidam spado laturus militum rogas. Et cum venissent Arabes secundum consuetudinem accepturi rogas suas, eunuchus eos ad iras impulit dicens: Quia Dominus vix dat militibus rogas, quanto minus canibus istis? Rectè dixit: secũdum consuetudinem accepturi rogas suas. Sic enim Mauricius, χορηγουμένας αὐτοῖς χρυσικὰς σιτηρεσίας. Idem Strategic. II. cap. 2. Ἐπιμελῶς ἐν καιρῷ τῆς χρυσικῆς ῥόγας, ὥσπερ τοὺς στρατιώτας, οὕτως καὶ τοὺς παῖδας αὐτῶν, καὶ

τὸ ἄρμα, ἀπογράφεσθαι καὶ καταζητεῖσθαι, εἰς τὸ εἰδέναι αὐτοὺς ὑπὲρ ποίων τίτλων ταύτην λαμβάνουσιν. Leo Constitut. VI. §. 15. Ἐπιμελῶς ἐν τῷ καιρῷ τῆς ῥόγας, καὶ ἀδνουμίου, καὶ τοὺς παῖδας αὐτῶν, καὶ τὸ ἄρμα, ἀπογράφεσθαι καὶ καταζητεῖσθαι, ἵνα μὴ καταφρονοῦντες τῶν δουλεύειν καὶ ὑπηρετεῖν αὐτοῖς ὀφειλόντων παίδων, ἐν καιρῷ πολέμου, ἀναγκάζωνται ἐξ αὐτῶν τῶν στρατιωτῶν ἀφορίζεσθαι εἰς τὸ τοῦλδον. Vide Ἀδνούμιον. Φαμιλιαρικά. Gloss. Fran. Pithœi ad Iulianum Antecess. CP. Rogatæ impensæ.

ΡΩΘΩΝΙΑ.

Ῥωθώνια. Mauricius I. Strategic. cap. I. de calceis peditum: τὰ ὑποδήματα αὐτῶν γοτθικά, καττυτά, δίχα ῥωθωνίων, ἁπλῶς ἐῤῥαμμένα ὑπὸ δύο ἀσίων, καὶ μὴ πλέον. ἀναγκαῖον γὰρ καὶ ὀλίγοις καὶ μικροῖς κέντροις καθηλοῦσθαι αὐτά, πρὸς πλείονα ὑπουργίαν. Pro his ver-

bis, δίχα ῥωθωνίων, dixit Leo Constitut. VI. §. 26. τὰ δὲ ὑποδήματα αὐτῶν μὴ ἔχειν ὀξείας ἔμπροσθεν. ἀναγκαῖον δὲ ὀλίγοις μικροῖς ἥλοις καθηλῶσαι αὐτὰ, ἤγουν καρφίοις, πρὸς πλείονα ὑπουργίαν. Constantin. Tacticis: τὰ δὲ ὑποδήματα αὐτῶν μὴ ἐχέτωσαν ἔμπροσθεν αὐτῶν *** καλὸν δέ ἐστιν ἵνα καὶ διὰ μικρῶν καρφίων ὀλίγων καθηλῶνται, πρὸς τὸ ὑπουργεῖν προχειρότερον. An verò legendum, δίχα ὀθονίων; vel, διὰ ὀθονίων; Vid. Cuiac. cap. 17. lib. X. Obseruat.



σ.

ΣΑΓΗ.



Σάγη. Suidas: Σάγμα, ἡ θήκη τοῦ ὅπλου· σάγη δὲ τὸ ὅπλον. Vrbicius: ἐπειδὴ δὲ καὶ ὀλίγων ἀνδρῶν σάγη οἶδεν ἐκδυματῶσαι τοὺς ἀκολουθοῦντας αὐτοῖς, &c.

ΣΑΓΜΑ.

ΣΆγμα, θήκη τοῦ ὅπλου. Suid. s. Item. Sagma, onus, sarcina, Gloss. Isidori. Et Origin. XX. Sagma, quæ corruptè vulgò dicitur Salma, à stratu sagorum vocatur. Glossarium vetus: Σάγμα, Sagma. Σαγματοποιός, Sagmarius. Σάγιον, Lodix. Σάγισμα, Curopal. Gloss. ms. Σάγη, περιβόλαιον. σάγμα, σκέπασμα.

ΣΑΓΜΑΡΙΑ.

ΣΑγμάρια. Nicet. Choniat. VI. Manuel. Comn. τὰ σκευοφόρα, τὰ σαγμάρια, καὶ κατοῦναι, καὶ τὰ ὑποχείριοι, αἵ τε ἅμαξαι. Mauricius II. Strategic. cap. 2. Ἀναγκαῖον ἐστὶν ἀπὸ διαγραφῆς εἰς τοὺς κατωτέρους στρατιώτας, τρεῖς ἢ τέσσαρας ἄνδρας ἕνα παῖδα ἐπινοεῖν. τὸ ὅμοιον δὲ τρόπον καὶ εἰς τὰ σαγμάρια. Idem cap. 5. Χρὴ τοὺς ὑποδεεστέρους τῶν

στρατιωτῶν εἰς τὰ σαγμάρια ἀφορίζειν, τουτέστιν εἰς τρία ἢ τέσσαρα σαγμάρια ἄνδρα ἕνα. paulò post: Τοῦλδος, ἤτοι τὰ σαγμάρια. Idē lib. I. cap. 6. dixerat: ἵππους σαγματαρίους. Sic Isidorus ꝟ. caballum sagmarium, &, mulam sagmariam. Vegetius lib. III. Impedimenta, sagmarij, calones, vehiculáque in medio collocentur.

ΣΑΓΜΟΣΕΛΛΙΟΝ.

Σαγμοσέλλιον. quasi sagma sellæ. Anonymus περὶ κατασ. ἀπλ. Τοῦ μὲν τοι τούλδου ἀπὸ τοῦ διαχωριζομένου, ἀναλαμβάνειν σε δεῖ ἐπὶ σιτισμὸν τοῦ λαοῦ, καὶ ταγὰς τῶν ἵππων δύο ἡμερῶν ἢ τριῶν βασταζομένας εἰς ταχεῖς ἡμιόνους ἢ καὶ ἵππους ἐν τοῖς σαγμοσελλίοις.

ΣΑΓΙΑ.

Σαγία. Mauricius I. Strategic. cap. 1. pedites habere vult, ζωστάρια λιτά, καὶ οὐ Βουλγαρικὰ σαγία. Leo Constitut. X. §. 12.

Τούτας διπλᾶς, ἢ σαγία διπλᾶ· εἰς τὸ τὸ μὲν ἐν σκέπεσθαι, εἴπερ χρεία καλέσοι· τὸ δὲ ἕτερον, εἰς τένταν, ἤτοι τὸ λεγόμενον καμβρόδαν, ἔχειν.

ΣΑΓΙΝΗ.

Σαγίνη. Mauricius I. Strategic. cap. 21. Καὶ ὅταν γνωσθῇ ὅτι πάντες διεσώθησαν, καὶ οὐδεὶς λείπει, τότε κινεῖν ἐπὶ τὸ ἔμπροσθεν ἀπλίκτον κατὰ τάξιν. ἐπειδὴ δὲ σαγινῶν οὐσῶν, καὶ λοιπῶν βαρυτέρων σκευῶν, οὐ πάντως, ὅτι δύνανται συνέρχεσθαι τοῖς δρόμοσι.

ΣΑΓΙΤΑ.

Σαγίτα, βέλος Nicet. Lexicon Cyrilli ms. Ἀκίδας τῶν βελῶν τὰς ὀξύτητας, αἳ σαγίται καλοῦνται, ἢ λογχάρια. Mauricius II. Strategic. cap. 1. εἰς τὸ τοξεύειν πεζῇ συντόμως, εἴτε ῥωμαϊστί, εἴτε περσιστί. ἡ γὰρ ταχύτης καὶ ἐκτινάσσεσθαι παρασκευάζει τὴν σαγίταν, καὶ ἰσχυρῶς βάλλεσθαι. εἰς τὸ τοξεύειν συντόμως ἐπάνω ἵππου τρέχοντος μίαν ἢ δευτέραν σαγίταν.

Hinc

Hinc ΣΑΓΙΤΑΤΩΡΕΣ. Leo Constitut. VII. §. 58. Οἱ δὲ ψιλοὶ κατὰ διαφόρους τρόποις τάσσονται, ἤγουν οἱ ἀκροβολισταὶ μὲν πάλαι λεγόμενοι, νῦν δὲ τοξόται, ἢ σαγιτάτωρες. Item hinc Σαγιτόβολον, & Σαγιτοποιοὶ, Mauric.

Σ Α Κ Α.

ΣΆκα. Anonymus περὶ κατασ. ἀπλ. Ἔνθεν κἀκεῖθεν ἑαυτοὺς ἀποστέλλων ἀνὰ τεσσαράκοντα ἱππεῖς, μὴ πόῤῥω, ἀλλὰ συνεστῶτας τὰς τοῦ λαοῦ αὐτοῦ φωνὰς ἐνωτιζομένους, καὶ ὄπισθεν αὐτοῦ ἐπακολουθοῦντα ἄρχοντα ἐχέτω, μετὰ ἱππέων, οὓς δὴ σάκαν ὀνομάζουσι. μηκόθεν δὲ ὁδοιπορείτω ὁ στρατηγός. Idem: Οἱ δὲ ἄρχοντες, οἵ τε τῶν προηγουμένων τῆς στρατιᾶς τάξεων, καὶ τῶν πλαγιοφυλάκων, καὶ ὁ τοῦ σάκα, ἀπερχέσθωσαν πρὸς τὴν κόρτην. Idem: Δέον καὶ ἀπὸ τῶν προπορευομένων δύο τάξεις ἔνθεν κἀκεῖθεν εἰσελθεῖν κατὰ στοῖχον, καὶ ἀπὸ τῶν τοῦ σάκα ὁμοίως ἑτέρας δύο. Idem: Ηνίκα δὲ μέλλεις κουρσεῦσαι τῶν πο-

λεμίων ἀκολουθῆσαι νυκτὸς, ἅπαν τὸ μάχιμον στράτευμα τεθωρακισμένον ἔσω, ἑκάστου τὸ ἐπιτήδειον πρὸς τὸ πολεμεῖν ὅπλον ἐν χερσὶν ἔχοντος. ἀλλὰ καὶ τὸ λεγόμενον σάκα ὄπισθεν ἔχε ἐπακολουθοῦν σοι.

ΣΑΚΕΛΛΙΟΝ.

Σακέλλιον. Vetus Gloss. Saccellus, Βαλλάντιον. Suidas: Σακέλλιον, βαλάντιον, μαρσίπιον· ἐξ οὗ ὁ Σακελλάριος. Mauricius III. Strategic. cap. 9. de Deputatis. λαμβάνειν ὑπὲρ μισθοῦ ἀπὸ τοῦ σακελλίου καθ' ἕκαστον πρόσωπον διασωζόμενον παρ' αὐτοῦ νόμισμα ἕν. Leo Constitut. XII. §. 52. pro, ἀπὸ τοῦ σακελλίου, dixit: ἀπὸ τοῦ ταμείου τῆς βασιλείας ἡμῶν. De saccis legionum, Vegetius lib. II.

ΣΑΛΙΒΑ.

Σαλίβα. Leo Constitut. VII. §. 4. εἰς τὸ ῥίψαι μήκοθεν ῥιπτάριον καὶ ματζοβαρβού-

λον, ὅπερ λέγεται νῦν Σαλίβα, ἢ καὶ τζηκούρελον. Curopalates, de magno Tzaüzio: φέρει δὲ οὗτος ἀπὸ τοῦ ἀριστεροῦ μέρους τῆς ζώνης αὐτοῦ σιρομάστην, ὃν κοινῶς καλοῦσι σαλίβα. Vide Σειρομάστης.

ΣΑΜΙΑΤΩΡΕΣ.

ΣΑμιάτωρες. Mauricius I. Strategic. cap. 7. Βουκινάτωρας, ἀρματούρους, σαμιάτωρας, τοξοποιούς, σαγιτοποιούς, καὶ τοὺς λοιποὺς πρὸς τὴν διατύπωσιν. Leo Constitut. III. §. 51. Καὶ βουκινάτωρας, οἵ τινες ἐν καιρῷ συνήθει σαλπίσουσι, σαμιάτωρας, τοξοποιούς, σαγιτοποιούς, καὶ τοὺς λοιποὺς πρὸς τὴν ἐξ ἔθους διατύπωσιν. Idem Constitut. V. §. 3. σπαθία ἠκονημένα καὶ σεσαμιωμένα. Gloss. vet. Ἀκονητὴς, samiarius, cociarius, acuciator.

ΣΑΡΙΣΣΑ.

ΣΑρισσα. Veget. III. Sarissæ, longissimi conti. Glossæ Isidori ms. Sarissa,

genus teli Macedonici. Gratius Cynegetic. I.

Quid Macetum immensos libeat si dicere contos? Suidas: Σάρισσα, εἶδος ἀκοντίου ἑλληνικόν. δόρυ μακρὸν παρὰ μακεδόσι. Leo Constitut. VI. §. 37. Καὶ τὰ δόρατα αὐτῶν, ἤγουν τὰ κοντάρια, πολὺ τῶν λεγομένων σαρισσῶν παρὰ τοῖς παλαιοῖς κονδότερα. αἱ δὲ σάρισσαι ἦσαν κοντάρια μακρὰ ἕως πηχῶν ιδ, καὶ ἄχρι πηχῶν ιϛ. In codice Regio additur: ταῦτα δὲ ἦσαν μάλιστα τῆς μακεδονικῆς ὁπλίσεως. Pergit Leo paulo post: κατέχων τὴν σάρισσαν, ἤγουν τὸ μακρὸν κοντάριον, ὃ πρότερον μὲν τινὲς εἶπον πηχῶν ιϛ, κατὰ δὲ τὴν ἀλήθειαν πηχῶν ιδ. Vide Γυμνασταί.

ΣΚΑΠΛΙΑ.

Σκαπλία. Mauricius lib. VI. Strateg. cap. 15. σκουτάρια μικρὰ ὄντα ἔμπροσθεν κατὰ τοῦ στήθους φέρειν, καὶ σκέπειν ἐνταῦθα τὰς ζάβας· καὶ τὰ σκαπλία διὰ τῶν ζαβῶν ὄπισθεν κατὰ

τῆ ὠμοπλάτων φέρειν. Idē lib. X. τοὺ μὴ ἔχοντας ζάβας τὰ σκαπλία τῆ ζαβῶν φέρειν. Aliàs Καπλία. Idem Mauricius I. Strategic. cap. 1. ζάβας σὺν καπλίοις τελείας μέχρι τοῦ ἀστραγάλου. Sic Καπούλια, Curopalat. pag. 53. σαγίσματος τὴν τοῦ ἵππου καπουλίων ἐπικειμένων. Quemadmodum verò Mauric. dixit, σκαπλία, ita & Gloss. vet. Conscaplium. μεταφρενον. alibi, Interscapulū.

ΣΕΔΕΤΑ.

Σέδετα. φοσσάτα, castra, σουδέτα. Σοῦδα enim, fossa. infrà suo loco. L. XIIX. De Episcopali aud. οἱ ὑφεστῶτες, καὶ τῇ φυλακῇ προσκαρτεροῦντες στρατιῶται ἐν τοῖς σεδέτοις αὐτῶν, &c. Mauricius II. Strategic. cap. 7. Εἴ τις ζημιώσῃ στρατιώτην, ἐν διπλῇ ποσότητι τοῦτο αὐτῷ ἀποκαταστήσῃ. ὁμοίως καὶ συντελεστήν. Εἰ δὲ ἐν παραχειμαδίῳ, ἢ εἰς τὰ σέδετα, ἢ κατὰ πάροδον ἄρχων ἢ στρατιώτης ζη-

μιώσῃ συντελεστὴν, καὶ μὴ τοῦτον δεόντως ἀποθε-
ραπευθῇ, ἐν διπλῇ ποσότητι τοῦτο αὐτῷ ἀποκα-
ταστήσῃ. Theophilus Antecess. Institut.
De militari testamēto: Ἐν οἷς δὲ χρόνοις ἐν
ἑτέροις διατρίβουσι τόποις, ἢ ἐν τοῖς λεγομένοις
αὐτοῖς σεδέτοις, τουτέστιν ἔνθα διάγειν αὐτοὺς ἀνάγ-
κη, τῶν στρατιωτικῶν ἐν τῷ διατίθεσθαι προνο-
μίων οὐκ ἀπολαύουσι. Dixerat Tribonia-
» nus §.Illis autem. milites illis tempo-
» ribus per quæ, citra expeditionum
» necessitatem, in aliis locis, vel in suis
» ædibus degunt, minimè ad vindi-
» candum in testamento faciendo pri-
uilegium adiuuari. Theophilus ex-
plicauit. & latinè dixisset: *In testa-*
» *mento* milites non posse vti priuile-
» giis, quando aliis in locis degunt
» quàm in sedetis, hoc est, locis, in qui-
» bus considere & consistere necesse
habent. scilicet propter expeditio-
num necessitatem. Temerè viri do-

ctissimi vulgatam repudiauere lectionem, (in suis ædibus.) ac nuperrimè Th. Marcilius curis secundis ad Martialis Amphitheat. Epigr. XVI.
» scribsit, (in suis sedibus.) Perperam. Addubitauit autem vir diuini ingenij Cuiacius, Consultatione XLIX. Et
» retinenda quidem lectio, in suis ædibus, hoc §. & l. vlt. C. de restitutionibus militum; vt in Basilicis, ἐν τοῖς ἰδίοις οἴκοις. At Sedeta militum ædes non sunt. Patet ex Leon. Constitut. III. §. I. Ἐκλέξεις δὲ στρατιώτας ἀπὸ παντὸς τοῦ ὑπὸ σὲ θέματος, μήτε παῖδας, μήτε γέροντας, ἀλλὰ ἀνδρείους, εὐρώστους, εὐψύχους, εὐπόρους. ὥστε αὐτῶν ἐν τῷ ἐξπεδίτῳ, ἤγουν ἐν τῇ συναγωγῇ τοῦ φοσσάτου, εἰς τὴν ἰδίαν στρατείαν ἀσχολουμένους, ἔχειν ἐν τοῖς ἰδίοις οἴκοις ἑτέρους τῶν γεωργοῦντας, καὶ τὰ πρὸς ἀπαρτισμὸν καὶ ἐξόπλισιν τοῦ στρατιώτου χορηγεῖν δυναμένους. Idem Constitut. IIX. §. 4. Ἐάν τις τολμήσῃ βαγεῦσαι ὑπὲρ τὸν χρό-

νον τοῦ κομεάτου, ἤγουν τῆς ἀπολύσεως τῶν στρατιωτῶν εἰς τοὺς ἰδίους οἴκους. &c. Denique milites in ſedetis, in caſtris, in foſſatis, in aplictis, in expeditis ſiue expeditionibus, iure militari teſtamentum facere poſſunt: in ſuis ædibus, minimè.

ΣΕΙΡΟΜΑΣΤΗΣ.

Σειρομάστης. σαλίβα. μέγας ὀβελίσκος. Vid. Cedren. pag. 578. Curopalates: Τὸ τοῦ μεγάλου τζαουσίου σκιάδιον, καββάδιον, καὶ τὸ σκαράνικον, καὶ ταῦτα ὡς τοῦ ταζᾶ τῆς αὐλῆς. Φέρει δὲ οὗτος ἀπὸ τοῦ ἀριστεροῦ μέρους τῆς ζώνης αὐτοῦ σιρομάστιν, ὃν κοινῶς καλοῦσι σαλίβαν. Ibíque longè fallitur opinione Franciſcus Iunius. Philon V. Βελοποιικῶν. πρὸς δὲ τὰ κεράμια, καὶ τὰ κρυπτόμενα ὀρύγματα, τοῖς σιρομάσταις χρῆσθαι. Perſpicuè Io. Tzetzes Hiſtor. Chiliad. 256.

Πολλοὶ μὲν τὸ ἀκόντιον καλοῦσι σιρομάστην,

Ὥσπερ

Ὥσπερ κἀν τῇ Φινεὲς κεῖται ἱστορίᾳ.
Ἐν ᾗ Ζαμβρῆν ἀπέκλινεν τοῦτω καὶ τὴν Χάσβην.
Κυρίως δὲ σίδηρον τῶν τελωνῶν ὑπάρχει,
Ὡς μέγας ὀβελίσκος τις, ᾧ πλήθοντες τοὺς σάκκοις,
Τὰ κλεπτοτελωνεύμενα νοοῦσι καὶ κρατοῦσιν.
Ἔγνως λοιπόν. καὶ τίς ἐστι κυρίως στρομάστης.
Τοῦ Φινεὲς δὲ κεῖται σοι καλῶς ἱστορία
Ἐν τόπῳ τετρακοσιοστῷ ἐνενηκοστοτετάρτῳ

Eo loci dixit ille: ἐντείνε δόρατι περονήσας. Leo Tactic. XX. §.147. καὶ ἐκκεντήσας τοὺς ἁμαρτάνοντας.

ΣΕΚΟΥΝΔΟΙ.

Σεκοῦνδοι. οἱ ὑπὸ τὸν δέκαρχον τεταγμένοι ἐπιστάται. Leo Const. VII. §.76.

ΣΕΛΑ.

Σέλα. ἀστράβη, Nicet. Mauric. IIX. Strategic. Χρὴ ἐν ἡμέρᾳ πολέμου ἐν ταῖς σέλλαις ἐπιφέρεσθαι ἕκαστον στρατιώτην ὕδωρ

Y

ἢ βυκελάτα, &c. Vide Δαιμποτάτοι. Ἀφέλεξα. Ἐπισέλλια. Curopalat. passim.

ΣΕΛΟΠΟΥΓΓΙΟΝ.

